UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

H

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

# Η

*Τάδε καὶ ἡ ὀγδόη περιέχει βίβλος τῆς ἐκκλησιαστικῆς ἱστορίας*


Α Περὶ τῶν πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ.

Β Περὶ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως.

Γ Περὶ τοῦ τρόπου τῶν κατὰ τὸν διωγμὸν ἠγωνισμένων.

Δ Περὶ τῶν ἀοιδίμων τοῦ θεοῦ μαρτύρων, ὡς πάντα τόπον ἔπλησαν τῆς ἑαυτῶν μνήμης, ποικίλους τοὺς ὑπὲρ εὐσεβείας ἀναδησάμενοι στεφάνους.

Ε Περὶ τῶν κατὰ Νικομήδειαν.

ϛ Περὶ τῶν κατὰ τοὺς βασιλικοὺς οἴκους.

Ζ Περὶ τῶν κατὰ Φοινίκην Αἰγυπτίων.

Η Περὶ τῶν κατὰ τὴν Αἴγυπτον.

Θ Περὶ τῶν κατὰ Θηβαΐδα.

Ι Φιλέου μάρτυρος περὶ τῶν κατ' Ἀλεξάνδρειαν πεπραγμένων ἔγγραφοι διδασκαλίαι.

ΙΑ Περὶ τῶν κατὰ Φρυγίαν.

ΙΒ Περὶ πλείστων ἑτέρων ἀνδρῶν τε καὶ γυναικῶν διαφόρως ἠγωνισμένων.

ΙΓ Περὶ τῶν τῆς ἐκκλησίας προέδρων τῶν τὸ γνήσιον ἧς ἐπρέσβευον εὐσεβείας διὰ τοῦ σφῶν αἵματος ἐπιδεδειγμένων.

ΙΔ Περὶ τοῦ τρόπου τῶν τῆς εὐσεβείας ἐχθρῶν.

ΙΕ Περὶ τῶν τοῖς ἐκτὸς συμβεβηκότων.

Ιϛ Περὶ τῆς ἐπὶ τὸ κρεῖττον τῶν πραγμάτων μεταβολῆς.

ΙΖ Περὶ τῆς τῶν κρατούντων παλινῳδίας.

736 *Τὴν τῶν ἀποστόλων διαδοχὴν ἐν ὅλοις ἑπτὰ περιγράψαντες
βιβλίοις, ἐν ὀγδόῳ τούτῳ συγγράμματι τὰ καθ' ἡμᾶς αὐτούς, οὐ τῆς
τυχούσης ἄξια ὄντα γραφῆς, ἕν τι τῶν ἀναγκαιοτάτων ἡγούμεθα
δεῖν εἰς γνῶσιν καὶ τῶν μεθ' ἡμᾶς παραδοῦναι, καὶ ἄρξεταί γε ὁ
λόγος ἡμῖν ἐντεῦθεν.*

Ὅσης μὲν καὶ ὁποίας πρὸ τοῦ καθ' ἡμᾶς διωγμοῦ δόξης ὁμοῦ A 1 1
καὶ παρρησίας ὁ διὰ Χριστοῦ τῷ βίῳ κατηγγελμένος τῆς εἰς τὸν
τῶν ὅλων θεὸν εὐσεβείας λόγος παρὰ πᾶσιν ἀνθρώποις, Ἕλλησί τε
καὶ βαρβάροις, ἠξίωτο, μεῖζον ἢ καθ' ἡμᾶς ἐπαξίως διηγήσασθαι·
τεκμήρια δ' ἂν γένοιτο τῶν κρατούντων αἱ περὶ τοὺς ἡμετέρους 2
δεξιώσεις, οἷς καὶ τὰς τῶν ἐθνῶν ἐνεχείριζον ἡγεμονίας, τῆς περὶ
τὸ θύειν ἀγωνίας κατὰ πολλὴν ἣν ἀπέσῳζον περὶ τὸ δόγμα φιλίαν
αὐτοὺς ἀπαλλάττοντες. τί δεῖ περὶ τῶν κατὰ τοὺς βασιλικοὺς 3
λέγειν οἴκους καὶ τῶν ἐπὶ πᾶσιν ἀρχόντων; οἳ τοῖς οἰκείοις εἰς
πρόσωπον ἐπὶ τῷ θείῳ παρρησιαζομένοις λόγῳ τε καὶ βίῳ συνεχώ-
ρουν, γαμεταῖς καὶ παισὶ καὶ οἰκέταις, μόνον οὐχὶ καὶ ἐγκαυχᾶσθαι
ἐπὶ τῇ παρρησίᾳ τῆς πίστεως ἐπιτρέποντες· οὓς ἐξόχως καὶ μᾶλλον
τῶν συνθεραπόντων ἀποδεκτοὺς ἡγοῦντο, οἷος ἐκεῖνος ἦν Δωρόθεος, 4
πάντων αὐτοῖς εὐνούστατός τε καὶ πιστότατος καὶ τούτων ἕνεκα
διαφερόντως παρὰ τοὺς ἐν ἀρχαῖς καὶ ἡγεμονίαις ἐντιμότατος, ὅ τε
σὺν αὐτῷ περιβόητος Γοργόνιος καὶ ὅσοι τῆς αὐτῆς ὁμοίως τούτοις
ἠξίωντο διὰ τὸν τοῦ θεοῦ λόγον τιμῆς· οἵας τε καὶ τοὺς καθ' 5
ἑκάστην ἐκκλησίαν ἄρχοντας παρὰ πᾶσιν ἐπιτρόποις καὶ ἡγεμόσιν
737 ἀποδοχῆς ἦν ὁρᾶν ἀξιουμένους. πῶς δ' ἄν τις διαγράψειεν τὰς μυ-
ριάνδρους ἐκείνας ἐπισυναγωγὰς καὶ τὰ πλήθη τῶν κατὰ πᾶσαν
πόλιν ἀθροισμάτων τάς τε ἐπισήμους ἐν τοῖς προσευκτηρίοις συν-

ATERBDMΣΔ

**5** *ἡμῖν ἐντεῦθεν* BDM *ἐντεῦθεν ἡμῖν* | **18** *συνθρεπτῶν* Σ | **20** *ἐντιμότατος* TERBDMΣ *αὐτοῖς τιμιωτάταις ἐντιμότατος* A

**1** *ἀποδοχῆς* ATERMΣ *ἀποδοχῆς καὶ θεραπείας καὶ δεξιώσεως οὐ τῆς τυχούσης* BD

738 δρομάς; ὧν δὴ ἕνεκα μηδαμῶς ἔτι τοῖς πάλαι οἰκοδομήμασιν ἀρκού-
μενοι, εὐρείας εἰς πλάτος ἀνὰ πάσας τὰς πόλεις ἐκ θεμελίων ἀνίστων
ἐκκλησίας. ταῦτα δὲ τοῖς χρόνοις προϊόντα ὁσημέραι τε εἰς αὔξην 6
καὶ μέγεθος ἐπιδιδόντα οὐδεὶς ἀνεῖργεν φθόνος οὐδέ τις δαίμων
πονηρὸς οἷός τε ἦν βασκαίνειν οὐδ' ἀνθρώπων ἐπιβουλαῖς κωλύειν,
ἐς ὅσον ἡ θεία καὶ οὐράνιος χεὶρ ἔσκεπέν τε καὶ ἐφρούρει, οἷα δὴ
ἄξιον ὄντα, τὸν ἑαυτῆς λαόν.

Ὡς δ' ἐκ τῆς ἐπὶ πλέον ἐλευθερίας ἐπὶ χαυνότητα καὶ νωθρίαν B 7
τὰ καθ' ἡμᾶς μετηλλάττετο, ἄλλων ἄλλοις διαφθονουμένων καὶ δια-
λοιδορουμένων καὶ μόνον οὐχὶ ἡμῶν αὐτῶν ἑαυτοῖς προσπολεμούν-
των ὅπλοις, εἰ οὕτω τύχοι, καὶ δόρασιν τοῖς διὰ λόγων ἀρχόντων
τε ἄρχουσι προσρηγνύντων καὶ λαῶν ἐπὶ λαοὺς καταστασιαζόντων
τῆς τε ὑποκρίσεως ἀφάτου καὶ τῆς εἰρωνείας ἐπὶ πλεῖστον ὅσον
κακίας προϊούσης, ἡ μὲν δὴ θεία κρίσις, οἷα φίλον αὐτῇ, πεφει-
σμένως, τῶν ἀθροισμάτων ἔτι συγκροτουμένων, ἠρέμα καὶ μετρίως
τὴν αὐτῆς ἐπισκοπὴν ἀνεκίνει, ἐκ τῶν ἐν στρατείαις ἀδελφῶν καταρ-
χομένου τοῦ διωγμοῦ· ὡς δ' ἀνεπαισθήτως ἔχοντες οὐχ ὅπως εὐ- 8
μενὲς καὶ ἵλεω καταστήσεσθαι τὸ θεῖον προυθυμούμεθα, οἷα δέ τινες
ἄθεοι ἀφρόντιστα καὶ ἀνεπίσκοπα τὰ καθ' ἡμᾶς ἡγούμενοι ἄλλας
ἐπ' ἄλλαις προσετίθεμεν κακίας οἵ τε δοκοῦντες ἡμῶν ποιμένες τὸν
τῆς θεοσεβείας θεσμὸν παρωσάμενοι ταῖς πρὸς ἀλλήλους ἀνεφλέ-
γοντο φιλονεικίαις, αὐτὰ δὴ ταῦτα μόνα, τὰς ἔριδας καὶ τὰς ἀπειλὰς
τόν τε ζῆλον καὶ τὸ πρὸς ἀλλήλους ἔχθος τε καὶ μῖσος ἐπαύξοντες
οἷά τε τυραννίδας τὰς φιλαρχίας ἐκθύμως διεκδικοῦντες, τότε δή,
τότε κατὰ τὴν φάσκουσαν τοῦ Ἱερεμίου φωνὴν ἐγνόφωσεν ἐν
740 ὀργῇ αὐτοῦ κύριος τὴν θυγατέρα Σιὼν καὶ κατέρριψεν ἐξ
οὐρανοῦ δόξασμα Ἰσραὴλ οὐκ ἐμνήσθη τε ὑποποδίου ποδῶν
αὐτοῦ ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ· ἀλλὰ καὶ κατεπόντισεν κύριος
πάντα τὰ ὡραῖα Ἰσραὴλ καὶ καθεῖλεν πάντας τοὺς φραγμοὺς
αὐτοῦ, κατά τε τὰ ἐν Ψαλμοῖς προθεσπισθέντα κατέστρεψεν 9
τὴν διαθήκην τοῦ δούλου αὐτοῦ καὶ ἐβεβήλωσεν εἰς γῆν
διὰ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως τὸ ἁγίασμα αὐτοῦ καὶ καθ-

**28**—S. 740, 5 Thren. 2, 1. 2
**740, 5—16** Psalm. 88, 40—46

ATERBDMΣΛ

**4** ἐπὶ T vgl. die folgende Anmerkung | πάλαι ERBDM γρ ἔτι τοῖσ πάλαι Tcm παλαιοῖσ AT[1] | οἰκοδομήμασιν ATERDΣΛ οἰκοδομήσασιν BM | **5** ἀνὰ πάσασ τὰσ πόλεισ Π *instar urbium* Λ *wie Städte* Σ | **6** αὔξην BDM αὔξησιν ATER | **21** καταστήσεσθαι ATER καταστήσασθαι BDM | **24** παρωσάμενοι ABM παραπωσάμενοι TERD

740 εἷλεν πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθετο τὰ ὀχυρώματα
αὐτοῦ δειλίαν· διήρπασάν τε τὰ πλήθη τοῦ λαοῦ πάντες οἱ
διοδεύοντες ὁδόν, καὶ δὴ ἐπὶ τούτοις ὄνειδος ἐγενήθη τοῖς
γείτοσιν αὐτοῦ. ὕψωσεν γὰρ τὴν δεξιὰν τῶν ἐχθρῶν αὐ-
τοῦ καὶ ἀπέστρεψεν τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ καὶ
οὐκ ἀντελάβετο αὐτοῦ ἐν τῷ πολέμῳ· ἀλλὰ καὶ κατέλυσεν
ἀπὸ καθαρισμοῦ αὐτὸν καὶ τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν
κατέρραξεν ἐσμίκρυνέν τε τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ,
καὶ ἐπὶ πᾶσιν κατέχεεν αὐτοῦ αἰσχύνην. συντετέλεσται δῆτα 2 1
καθ᾽ ἡμᾶς ἅπαντα, ὁπηνίκα τῶν μὲν προσευκτηρίων τοὺς οἴκους
ἐξ ὕψους εἰς ἔδαφος αὐτοῖς θεμελίοις καταρριπτουμένους, τὰς δ᾽ ἐν-
θέους καὶ ἱερὰς γραφὰς κατὰ μέσας ἀγορὰς πυρὶ παραδιδομένας αὐ-
τοῖς ἐπείδομεν ὀφθαλμοῖς τούς τε τῶν ἐκκλησιῶν ποιμένας αἰσχρῶς
ὧδε κἀκεῖσε κρυπταζομένους, τοὺς δὲ ἀσχημόνως ἁλισκομένους καὶ
πρὸς τῶν ἐχθρῶν καταπαιζομένους, ὅτε καὶ κατ᾽ ἄλλον προφητικὸν
λόγον ἐξεχύθη ἐξουδένωσις ἐπ᾽ ἄρχοντας, καὶ ἐπλάνησεν
αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. ἀλλὰ τούτων μὲν οὐχ ἡμέ- 2
τερον διαγράφειν τὰς ἐπὶ τέλει σκυθρωπὰς συμφοράς, ἐπεὶ καὶ τὰς
πρόσθεν τοῦ διωγμοῦ διαστάσεις τε αὐτῶν εἰς ἀλλήλους καὶ ἀτοπίας
οὐχ ἡμῖν οἰκεῖον μνήμῃ παραδιδόναι· δι᾽ ὃ καὶ πλέον οὐδὲν ἱστο-
742 ρῆσαι περὶ αὐτῶν διέγνωμεν ἢ δι᾽ ὧν ἂν τὴν θείαν δικαιώσαιμεν
κρίσιν. οὐκοῦν οὐδὲ τῶν πρὸς τοῦ διωγμοῦ πεπειραμένων ἢ τῶν 3
εἰς ἅπαν τῆς σωτηρίας νεναυαγηκότων αὐτῇ τε γνώμῃ τοῖς τοῦ
κλύδωνος ἐναπορριφέντων βυθοῖς μνήμην ποιήσασθαι προήχθημεν,
μόνα δ᾽ ἐκεῖνα τῇ καθόλου προσθήσομεν ἱστορίᾳ, ἃ πρώτοις μὲν
ἡμῖν αὐτοῖς, ἔπειτα δὲ καὶ τοῖς μεθ᾽ ἡμᾶς γένοιτ᾽ ἂν πρὸς ὠφε-
λείας.
Ἴωμεν οὖν ἐντεῦθεν ἤδη τοὺς ἱεροὺς ἀγῶνας τῶν τοῦ θείου Γ
λόγου μαρτύρων ἐν ἐπιτομῇ διαγράψοντες. ἔτος τοῦτο ἦν ἐννεα- 4 302/3 n. C.
καιδέκατον τῆς Διοκλητιανοῦ βασιλείας, Δύστρος μήν, λέγοιτο δ᾽ ἂν
οὗτος Μάρτιος κατὰ Ῥωμαίους, ἐν ᾧ τῆς τοῦ σωτηρίου πάθους
ἑορτῆς ἐπελαυνούσης ἥπλωτο πανταχόσε βασιλικὰ γράμματα, τὰς μὲν
ἐκκλησίας εἰς ἔδαφος φέρειν, τὰς δὲ γραφὰς ἀφανεῖς πυρὶ γενέσθαι

**23/24** Psalm. 106, 40

**742, 9—20** vgl. De mart. Palaest. pr. 1. 2 — **12—16** vgl. Lactant. de mort. pers. 13, 1

ATERBDMΣΔ

**16** δῆτα ATcE δὴ τὰ T1RBDM | **17** ἅπαντα TcTrERBDM πάντα AT1

**1** διέγνωμεν ATER ἔγνωμεν BDM | **9** διαγράψοντεσ ATrRBD δια-γράψαντεσ T1EM

742 προστάττοντα, καὶ τοὺς μὲν τιμῆς ἐπειλημμένους ἀτίμους, τοὺς δ'
ἐν οἰκετίαις, εἰ ἐπιμένοιεν τῇ τοῦ Χριστιανισμοῦ προθέσει, ἐλευθε-
ρίας στερεῖσθαι προαγορεύοντα. καὶ ἡ μὲν πρώτη καθ' ἡμῶν 5
γραφὴ τοιαύτη τις ἦν· μετ' οὐ πολὺ δὲ ἑτέρων ἐπιφοιτησάντων
γραμμάτων, προσετάττετο τοὺς τῶν ἐκκλησιῶν προέδρους πάντας
τοὺς κατὰ πάντα τόπον πρῶτα μὲν δεσμοῖς παραδίδοσθαι, εἶθ' ὕστε-
ρον πάσῃ μηχανῇ θύειν ἐξαναγκάζεσθαι. τότε δὴ οὖν, τότε πλεῖ- 3 1
στοι μὲν ὅσοι τῶν ἐκκλησιῶν ἄρχοντες, δειναῖς αἰκίαις προθύμως
ἐναθλήσαντες, μεγάλων ἀγώνων ἱστορίας ἐπεδείξαντο, μυρίοι δ'
ἄλλοι τὴν ψυχὴν ὑπὸ δειλίας προναρκήσαντες προχείρως οὕτως ἀπὸ
πρώτης ἐξησθένησαν προσβολῆς, τῶν δὲ λοιπῶν ἕκαστος εἴδη διά-
φορα βασάνων ἐνήλλαττεν, ὃ μὲν μάστιξιν αἰκιζόμενος τὸ σῶμα, ὃ
δὲ στρεβλώσεσιν καὶ ξεσμοῖς ἀνυπομονήτοις τιμωρούμενος, ἐφ' οἷς
ἤδη τινὲς οὐκ αἴσιον ἀπηνέγκαντο τοῦ βίου τέλος. ἄλλοι δ' αὖ 2
πάλιν ἄλλως τὸν ἀγῶνα διεξῄεσαν· ὃ μὲν γάρ τις ἑτέρων βίᾳ συνω-
744 θούντων καὶ ταῖς παμμιάροις καὶ ἀνάγνοις προσαγόντων θυσίαις ὡς
τεθυκὼς ἀπηλλάττετο, καὶ εἰ μὴ τεθυκὼς ἦν, ὃ δὲ μηδ' ὅλως προσ-
πελάσας μηδέ τινος ἐναγοῦς ἐφαψάμενος, εἰρηκότων δ' ἑτέρων ὅτι
τεθύκοι, σιωπῇ φέρων τὴν συκοφαντίαν ἀπῄει· ἄλλος ἡμιθνὴς αἰ-
ρόμενος ὡς ἂν ἤδη νεκρὸς ἐρρίπτετο, καί τις αὖ πάλιν ἐπ' ἐδάφους 3
κείμενος μακρὰν ἐσύρετο τοῖν ποδοῖν, ἐν τεθυκόσιν αὐτοῖς λελογι-
σμένος. ὁ δέ τις ἐβόα καὶ μεγάλῃ διεμαρτύρετο φωνῇ τῆς θυσίας
τὴν ἄρνησιν, καὶ ἄλλος Χριστιανὸς εἶναι ἐκεκράγει, τῇ τοῦ σωτηρίου
προσρήματος ὁμολογίᾳ λαμπρυνόμενος· ἕτερος τὸ μὴ τεθυκέναι μηδὲ
θύσειν ποτὲ διετείνετο. ὅμως δ' οὖν καὶ οἵδε πολυχειρίᾳ τῆς 4
ἐπὶ τοῦτο τεταγμένης στρατιωτικῆς παρατάξεως κατὰ στόματος
παιόμενοι καὶ κατασιγαζόμενοι κατά τε προσώπου καὶ παρειῶν
τυπτόμενοι μετὰ βίας ἐξωθοῦντο· οὕτως ἐξ ἅπαντος οἱ τῆς θεο-
σεβείας ἐχθροὶ τὸ δοκεῖν ἠνυκέναι περὶ πολλοῦ ἐτίθεντο.

Ἀλλ' οὐ καὶ κατὰ τῶν ἁγίων αὐτοῖς μαρτύρων ταῦτα πρου- Δ
χώρει· ὧν εἰς ἀκριβῆ διήγησιν τίς ἂν ἡμῖν ἐξαρκέσειεν λόγος; μυ- 4 1
ρίους μὲν γὰρ ἱστορῆσαι ἄν τις θαυμαστὴν ὑπὲρ εὐσεβείας τοῦ θεοῦ
τῶν ὅλων ἐνδεδειγμένους προθυμίαν, οὐκ ἐξ ὅτουπερ μόνον ὁ κατὰ
πάντων ἀνεκινήθη διωγμός, πολὺ πρότερον δὲ καθ' ὃν ἔτι τὰ τῆς
εἰρήνης συνεκροτεῖτο. ἄρτι γὰρ ἄρτι πρῶτον ὥσπερ ἀπὸ κάρου 2

**742, 20**—S. 744, 14 vgl. De mart. Palaest. 1, 3—5

ΑΤΕRΒDΜΣΔ

**4** ἡμιθνὴσ BD εἰμιθνὴσ M ἡμιθανὴσ ATER | **4/5** εἰργόμενος Σ | **9** μὴ δὲ BD μήτε ATERM | **10** θύσειν AT^c ERMΔΣ θύειν T^1 BD

744 βαθέος ὑποκινουμένου τοῦ τὴν ἐξουσίαν εἰληφότος κρύβδην τε ἔτι
καὶ ἀφανῶς μετὰ τὸν ἀπὸ Δεκίου καὶ Οὐαλεριανοῦ μεταξὺ χρόνον
ταῖς ἐκκλησίαις ἐπιχειροῦντος οὐκ ἀθρόως τε τῷ καθ' ἡμῶν ἐπ-
αποδυομένου πολέμῳ, ἀλλ' ἔτι τῶν κατὰ τὰ στρατόπεδα μόνων ἀπο-
πειρωμένου (ταύτῃ γὰρ καὶ τοὺς λοιποὺς ἁλῶναι ῥᾳδίως ᾤετο, εἰ
746 πρότερον ἐκείνων καταγωνισάμενος περιγένοιτο), πλείστους παρῆν
τῶν ἐν στρατείαις ὁρᾶν ἀσμενέστατα τὸν ἰδιωτικὸν προασπαζο-
μένους βίον, ὡς ἂν μὴ ἔξαρνοι γένοιντο τῆς περὶ τὸν τῶν ὅλων
δημιουργὸν εὐσεβείας. ὡς γὰρ ὁ στρατοπεδάρχης, ὅστις ποτὲ ἦν 3
ἐκεῖνος, ἄρτι πρῶτον ἐνεχείρει τῷ κατὰ τῶν στρατευμάτων διω-
γμῷ, φυλοκρινῶν καὶ διακαθαίρων τοὺς ἐν τοῖς στρατοπέδοις ἀνα-
φερομένους αἵρεσίν τε διδοὺς ἢ πειθαρχοῦσιν ἧς μετῆν αὐτοῖς ἀπο-
λαύειν τιμῆς ἢ τοὐναντίον στέρεσθαι ταύτης, εἰ ἀντιτάττοιντο τῷ
προστάγματι, πλεῖστοι ὅσοι τῆς Χριστοῦ βασιλείας στρατιῶται τὴν
εἰς αὐτὸν ὁμολογίαν, μὴ μελλήσαντες, τῆς δοκούσης δόξης καὶ εὐ-
πραγίας ἧς εἴχοντο, ἀναμφιλόγως προυτίμησαν. ἤδη δὲ σπανίως 4
τούτων εἷς που καὶ δεύτερος οὐ μόνον τῆς ἀξίας τὴν ἀποβολήν,
ἀλλὰ καὶ θάνατον τῆς εὐσεβοῦς ἐνστάσεως ἀντικατηλλάττοντο, με-
τρίως πως ἤδη τότε τοῦ τὴν ἐπιβουλὴν ἐνεργοῦντος καὶ μέχρις αἵ-
ματος ἐπ' ἐνίων φθάνειν ἐπιτολμῶντος, τοῦ πλήθους, ὡς ἔοικεν,
τῶν πιστῶν δεδιττομένου τε αὐτὸν ἔτι καὶ ἀποκναίοντος ἐπὶ τὸν
κατὰ πάντων ἀθρόως ἐφορμῆσαι πόλεμον.

Ὡς δὲ καὶ γυμνότερον ἐπαπεδύετο, οὐδ' ἔστιν λόγῳ δυνατὸν E 5
ἀφηγήσασθαι ὅσους καὶ ὁποίους τοῦ θεοῦ μάρτυρας ὀφθαλμοῖς παρῆν
ὁρᾶν τοῖς ἀνὰ πάσας τάς τε πόλεις καὶ τὰς χώρας οἰκοῦσιν. αὐ- 5
τίκα γοῦν τῶν οὐκ ἀσήμων τις, ἀλλὰ καὶ ἄγαν κατὰ τὰς ἐν τῷ βίῳ
νενομισμένας ὑπεροχὰς ἐνδοξοτάτων, ἅμα τῷ τὴν κατὰ τῶν ἐκκλη-
σιῶν ἐν τῇ Νικομηδείᾳ προτεθῆναι γραφήν, ζήλῳ τῷ κατὰ θεὸν
ὑποκινηθεὶς διαπύρῳ τε ἐφορμήσας τῇ πίστει, ἐν προφανεῖ καὶ δη-
μοσίῳ κειμένην ὡς ἀνοσίαν καὶ ἀσεβεστάτην ἀνελὼν σπαράττει,
δυεῖν ἐπιπαρόντων κατὰ τὴν αὐτὴν πόλιν βασιλέων, τοῦ τε πρεσβυ-

**744, 21** vgl. Ioann. 19, 10. 11

ATERBDMΣΔ

**21** *βαθέως* Σ der *κάρον* von *κάρα* ableitet | *ὑποκινουμένου* ABDMΣ *ὑποκειμένου* TER | *τὴν* T$^{c}$ auf Rasur, ERBDMΣ *ταύτην τὴν* A | **23** *οὐκ* > Σ
**1** *παρῆν* BDM *τε παρῆν* A *γὰρ ἦν* T$^{1}$E$^{1}$R *ἦν* T durch Ras., E durch Ras. | **7** *ἢ* E$^{cm}$BDΣ *ἡ* M *εἰ* ATER | **11** *εἴχοντο* BD *εἶχον τὸ* M *εἶχον//* [1 Buchst. radirt] T$^{1}$ *εἶχον* A, T durch Ras. corr., ERΣ | **16** *ἀποκνέοντοσ* DM *ἀποκνοῦντος* Σ

746 τάτου τῶν ἄλλων καὶ τοῦ τὸν τέταρτον ἀπὸ τούτου τῆς ἀρχῆς
ἐπικρατοῦντος βαθμόν. ἀλλ᾽ οὗτος μὲν τῶν τηνικάδε πρῶτος
τοῦτον διαπρέψας τὸν τρόπον ἅμα τε τοιαῦτα οἷα καὶ εἰκὸς ἦν,
748 ὑπομείνας ὡς ἂν ἐπὶ τοιούτῳ τολμήματι, τὸ ἄλυπον καὶ ἀτάραχον
εἰς αὐτὴν τελευταίαν διετήρησεν ἀναπνοήν·

πάντων δὲ ὅσοι τῶν πώποτε ἀνυμνοῦνται θαυμάσιοι καὶ ἐπ᾽ ς 6 1
ἀνδρείᾳ βεβοημένοι εἴτε παρ᾽ Ἕλλησιν εἴτε παρὰ βαρβάροις, θείους
ἤνεγκεν ὁ καιρὸς καὶ διαπρεπεῖς μάρτυρας τοὺς ἀμφὶ τὸν Δωρόθεον
βασιλικοὺς παῖδας, οἳ καὶ τῆς ἀνωτάτω παρὰ τοῖς δεσπόταις ἠξιω-
μένοι τιμῆς γνησίων τε αὐτοῖς διαθέσει τέκνων οὐ λειπόμενοι, μεί-
ζονα πλοῦτον ὡς ἀληθῶς ἥγηνται τῆς τοῦ βίου δόξης καὶ τρυφῆς
τοὺς ὑπὲρ εὐσεβείας ὀνειδισμούς τε καὶ πόνους καὶ τοὺς κεκαινουργη-
μένους ἐπ᾽ αὐτοῖς πολυτρόπους θανάτους· ὧν ἑνός τινος οἵῳ κέ-
χρηται μνησθέντες τῷ τοῦ βίου τέλει, σκοπεῖν ἐξ αὐτοῦ καὶ τὰ τοῖς
ἄλλοις συμβεβηκότα τοῖς ἐντυγχάνουσιν καταλείψομεν. ἤγετό τις 2
εἰς μέσον κατὰ τὴν προειρημένην πόλιν ἐφ᾽ ὧν δεδηλώκαμεν ἀρ-
χόντων. θύειν δὴ οὖν προσταχθείς, ὡς ἐνίστατο, γυμνὸς μετάρσιος
ἀρθῆναι κελεύεται μάστιξίν τε τὸ πᾶν σῶμα καταξαίνεσθαι, εἰς ὅτε
ἡττηθεὶς κἂν ἄκων τὸ προσταττόμενον ποιήσειεν. ὡς δὲ καὶ 3
ταῦτα πάσχων ἀδιάτρεπτος ἦν, ὄξος λοιπὸν ἤδη τῶν ὀστέων ὑπο-
φαινομένων αὐτοῦ σὺν καὶ ἅλατι φύραντες κατὰ τῶν διασαπέντων
τοῦ σώματος μερῶν ἐνέχεον· ὡς δὲ καὶ ταύτας ἐπάτει τὰς ἀλγη-
δόνας, ἐσχάρα τοὐντεῦθεν καὶ πῦρ εἰς μέσον εἵλκετο, καὶ κρεῶν
ἐδωδίμων δίκην τὰ λείψανα αὐτῷ τοῦ σώματος ὑπὸ τοῦ πυρὸς οὐκ
εἰς ἄθρουν, ὡς ἂν μὴ συντόμως ἀπαλλαγείη, κατὰ βραχὺ δὲ ἀνηλί-
σκετο, οὐ πρότερον ἀνεῖναι τῶν ἐπιτιθέντων αὐτὸν τῇ πυρᾷ συγχω-
ρουμένων, πρὶν ἂν καὶ μετὰ τοσαῦτα τοῖς προσταττομένοις ἐπι-
νεύσειεν. ὁ δ᾽ ἀπρὶξ ἐχόμενος τῆς προθέσεως νικηφόρος ἐν αὐταῖς 4
βασάνοις παρέδωκε τὴν ψυχήν. τοιοῦτον τῶν βασιλικῶν ἑνὸς τὸ
μαρτύριον παίδων, ἄξιον ὡς ὄντως καὶ τῆς προσηγορίας· Πέτρος

**7—9** Hebr. 11, 26

ATERBDMΣΔ

**29** *καὶ εἰκὸσ ἦν* ATER *καὶ ἦν εἰκὸσ* DM *ἦν καὶ εἰκὸσ* $B^1$ *καὶ ἦν καὶ εἰκὸσ* $B^1$ corr.

**3** *τῶν* ATER > BDM | **22/23** *ἀνηλίσκετο* BDMΣ *ἀναλίσκοιτο* ATER | **24** *πρὸσ ταττομένοισ* M *προστασσομένοισ* BD *das was ihm befohlen war* Σ *πραττομένοισ* ATER | **25/26** *αὐταῖσ βασάνοισ — τὴν ψυχὴν* BD *αὐταῖσ ταῖσ βασάνοισ — τὴν ψυχὴν* M *αὐταῖσ — τὴν ψυχὴν ταῖσ βασάνοισ* AR *αὐταῖσ — τὴν ψυχὴν βάσανοισ* TE | **26** *τοιοῦτον τῶν* $T^r$EBD *τοιοῦτο τῶν* RM *τοιούτων τῶν* A *τοιούτων* $T^1$ | **27** *ἄξιοσ* M *ἀξίον* Σ

750 γὰρ ἐκαλεῖτο. οὐ χείρονα δὲ καὶ τὰ κατὰ τοὺς λοιποὺς ὄντα λόγου 5
φειδόμενοι συμμετρίας παραλείψομεν, τοσοῦτον ἱστορήσαντες ὡς ὅ
τε Δωρόθεος καὶ ὁ Γοργόνιος ἑτέροις ἅμα πλείοσιν τῆς βασιλικῆς
οἰκετίας μετὰ τοὺς πολυτρόπους ἀγῶνας βρόχῳ τὴν ζωὴν μεταλ-
λάξαντες, τῆς ἐνθέου νίκης ἀπηνέγκαντο βραβεῖα. ἐν τούτῳ τῆς 6
κατὰ Νικομήδειαν ἐκκλησίας ὁ τηνικαῦτα προεστὼς Ἄνθιμος διὰ
τὴν εἰς Χριστὸν μαρτυρίαν τὴν κεφαλὴν ἀποτέμνεται· τούτῳ δὲ
πλῆθος ἄθρουν μαρτύρων προστίθεται, οὐκ οἶδ᾽ ὅπως ἐν τοῖς κατὰ
τὴν Νικομήδειαν βασιλείοις πυρκαϊᾶς ἐν αὐταῖς δὴ ταῖς ἡμέραις
ἀφθείσης, ἣν καθ᾽ ὑπόνοιαν ψευδῆ πρὸς τῶν ἡμετέρων ἐπιχειρη-
θῆναι λόγου διαδοθέντος, παγγενεὶ σωρηδὸν βασιλικῷ νεύματι τῶν
τῇδε θεοσεβῶν οἳ μὲν ξίφει κατεσφάττοντο, οἳ δὲ διὰ πυρὸς ἐτε-
λειοῦντο, ὅτε λόγος ἔχει προθυμίᾳ θείᾳ τινὶ καὶ ἀρρήτῳ ἄνδρας
ἅμα γυναιξὶν ἐπὶ τὴν πυρὰν καθαλέσθαι· δήσαντες δὲ οἱ δήμιοι
ἄλλο τι πλῆθος ἐπὶ σκάφαις τοῖς θαλαττίοις ἐναπέρριπτον βυ-
θοῖς. τοὺς δέ γε βασιλικοὺς μετὰ θάνατον παῖδας, γῇ μετὰ τῆς 7
προσηκούσης κηδείας παραδοθέντας, αὖθις ἐξ ὑπαρχῆς ἀνορύξαντες
ἐναπορρῖψαι θαλάττῃ καὶ αὐτοὺς ᾤοντο δεῖν οἱ νενομισμένοι δεσπό-
ται, ὡς ἂν μὴ ἐν μνήμασιν ἀποκειμένους προσκυνοῖέν τινες, θεοὺς
δὴ αὐτούς, ὥς γε ᾤοντο, λογιζόμενοι. καὶ τὰ μὲν ἐπὶ τῆς Νικο-
μηδείας κατὰ τὴν ἀρχὴν ἀποτελεσθέντα τοῦ διωγμοῦ τοιαῦτα· οὐκ 8
εἰς μακρὸν δ᾽ ἑτέρων κατὰ τὴν Μελιτηνὴν οὕτω καλουμένην χώραν
καὶ αὖ πάλιν ἄλλων ἀμφὶ τὴν Συρίαν ἐπιφυῆναι τῇ βασιλείᾳ πε-
πειραμένων, τοὺς πανταχόσε τῶν ἐκκλησιῶν προεστῶτας εἱρκταῖς
καὶ δεσμοῖς ἐνεῖραι πρόσταγμα ἐφοίτα βασιλικόν. καὶ ἦν ἡ θέα 9
τῶν ἐπὶ τούτοις γινομένων πᾶσαν διήγησιν ὑπεραίρουσα, μυρίου
πλήθους ἐν παντὶ τόπῳ καθειργνυμένου καὶ τὰ πανταχῇ δεσμω-
τήρια, ἀνδροφόνοις καὶ τυμβωρύχοις πάλαι πρότερον ἐπεσκευασμένα,
752 τότε πληρούντων ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων ἀνα-
γνωστῶν τε καὶ ἐπορκιστῶν, ὡς μηδὲ χώραν ἔτι τοῖς ἐπὶ κακουρ-

ATERBDMΣΛ

**1** λόγου ABDM λόγων T$^{c}$ER λόγον T$^{1}$ | **3** τε BDM γε ATER | **4** βρόχωι > Σ | **5** βραβεῖα AT$^{1}$B τὰ βραβεῖα T$^{c}$ERDM | **13** ὅτε Schw ὅ τε ΠΣ | θεία τινὶ καὶ T$^{c}$ERBDMΣ τινὶ καὶ A$^{1}$T$^{1}$ τινὶ A$^{c}$ τινὶ θειοτέρα καὶ T$^{rm}$ | **14** καθαλέσθαι M καθάλλεσθαι ATERBD | δήμιοι] *Feinde* Σ | **17** ἀνορύξαντεσ ATERΣ ἀνορύξαντασ B [ασ auf Rasur], DM | **18** ᾤιοντο T durch Rasur corr., RBDMΣ ὢσ ᾤιοντο AT$^{1}$E | **20** δὴ ATER > BDM | **22** μελιτηνὴν D$^{r}$M μελιτινὴν A$^{1}$TERBD$^{1}$ μελιτίνην A$^{r}$

**1** τότε πληρούντων AT$^{1}$BD τότ᾽ ἐπλήρουν τῶν T$^{c}$ERM | **2** τε καὶ — χώραν ἔτι A τε ἔτι καὶ — χώραν BDM τε ἔτι καὶ — χώραν ἔτι TER

752 γίαις κατακρίτοις αὐτόθι λείπεσθαι. αὖθις δ' ἑτέρων τὰ πρῶτα 10
γράμματα ἐπικατειληφότων, ἐν οἷς τοὺς κατακλείστους θύσαντας
μὲν ἐᾶν βαδίζειν ἐπ' ἐλευθερίας, ἐνισταμένους δὲ μυρίαις καταξαίνειν
προστέτακτο βασάνοις, πῶς ἂν πάλιν ἐνταῦθα τῶν καθ' ἑκάστην
ἐπαρχίαν μαρτύρων ἀριθμήσειέν τις τὸ πλῆθος καὶ μάλιστα τῶν
κατὰ τὴν Ἀφρικὴν καὶ τὸ Μαύρων ἔθνος Θηβαΐδα τε καὶ κατ' Αἴ-
γυπτον; ἐξ ἧς καὶ εἰς ἑτέρας ἤδη προελθόντες πόλεις τε καὶ ἐπαρ-
χίας διέπρεψαν τοῖς μαρτυρίοις.

Ἴσμεν γοῦν τοὺς ἐξ αὐτῶν διαλάμψαντας ἐν Παλαιστίνῃ, ἴσμεν Z 7 1
δὲ καὶ τοὺς ἐν Τύρῳ τῆς Φοινίκης· οὓς τίς ἰδὼν οὐ κατεπλάγη τὰς
ἀναρίθμους μάστιγας καὶ τὰς ἐν τούτοις τῶν ὡς ἀληθῶς παρα-
δόξων τῆς θεοσεβείας ἀθλητῶν ἐνστάσεις τόν τε παραχρῆμα μετὰ
τὰς μάστιγας ἐν θηρσὶν ἀνθρωποβόροις ἀγῶνα καὶ τὰς ἐν τούτῳ
παρδάλεων καὶ διαφόρων ἄρκτων συῶν τε ἀγρίων καὶ πυρὶ καὶ
σιδήρῳ κεκαυτηριασμένων βοῶν προσβολὰς καὶ τὰς πρὸς ἕκαστον
τῶν θηρίων θαυμασίους τῶν γενναίων ὑπομονάς; οἷς γιγνομένοις 2
καὶ αὐτοὶ παρῆμεν, ὁπηνίκα τοῦ μαρτυρουμένου σωτῆρος ἡμῶν,
αὐτοῦ δὴ Ἰησοῦ Χριστοῦ, τὴν θείαν δύναμιν ἐπιπαροῦσαν ἐναργῶς
τε αὐτὴν τοῖς μάρτυσιν ἐπιδεικνῦσαν ἱστορήσαμεν, τῶν ἀνθρωποβόρων
ἐπὶ πλείονα χρόνον μὴ προσψαύειν μηδὲ πλησιάζειν τοῖς τῶν θεο-
φιλῶν σώμασιν ἐπιτολμώντων, ἀλλ' ἐπὶ μὲν τοὺς ἄλλους, ὅσοι δή-
πουθεν ἔξωθεν ἐρεθισμοῖς παρώρμων αὐτά, φερομένων, μόνων δὲ
τῶν ἱερῶν ἀθλητῶν, γυμνῶν ἑστώτων καὶ ταῖς χερσὶν κατασειόντων
ἐπί τε σφᾶς αὐτοὺς ἐπισπωμένων (τοῦτο γὰρ αὐτοῖς ἐκελεύετο πράτ-
τειν), μηδ' ὅλως ἐφαπτομένων, ἀλλ' ἔσθ' ὅπῃ μὲν καὶ ἐπ' αὐτοὺς
ὁρμώντων, οἷα δὲ πρός τινος θειοτέρας δυνάμεως ἀνακρουομένων
καὶ αὖ πάλιν εἰς τοὐπίσω χωρούντων· ὃ καὶ εἰς μακρὸν γινόμενον 3
θαῦμα παρεῖχεν οὐ σμικρὸν τοῖς θεωμένοις, ὥστε ἤδη διὰ τὸ ἄπρα-
κτον τοῦ πρώτου δεύτερον καὶ τρίτον προσαφίεσθαι ἑνὶ καὶ τῷ αὐτῷ
754 μάρτυρι θηρίον. καταπλαγῆναι δ' ἦν τὴν ἐπὶ τούτοις ἀπτόητον 4
τῶν ἱερῶν ἐκείνων καρτερίαν καὶ τὴν ἐν σώμασι νέοις βεβηκυῖαν
καὶ ἀδιάτρεπτον ἔνστασιν. ἑώρας γοῦν ἡλικίαν οὐδ' ὅλων ἐτῶν
εἴκοσι δίχα δεσμῶν ἑστῶτος νέου καὶ τὰς μὲν χεῖρας ἐφαπλοῦντος
εἰς σταυροῦ τύπον, ἀκαταπλήκτῳ δὲ καὶ ἀτρεμεῖ διανοίᾳ ταῖς πρὸς
τὸ θεῖον σχολαίτατα τεταμένου λιταῖς μηδ' ὅλως τε μεθισταμένου

ATERBDMΣΛ

**9** ἐξῆσ ATcEΣ | **15** ἀνθρωποβόροισ BDΣ αἱμοβόροισ ATERM | τὰσ A τοὺσ TERBDM | **23/24** δή ποθεν MΣ

**6** τε BDMΣ δὲ ATER

754 μηδ᾽ ἀποκλίνοντός ποι τοῦ ἔνθα εἱστήκει τόπου, ἄρκτων καὶ παρ-
δάλεων θυμοῦ καὶ θανάτου πνεόντων σχεδὸν αὐτῆς καθαπτομένων
αὐτοῦ τῆς σαρκός, ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως θείᾳ καὶ ἀπορρήτῳ δυνάμει
μόνον οὐχὶ φραττομένων τὸ στόμα καὶ αὖθις παλινδρομούντων εἰς
τοὐπίσω. καὶ οὗτος μέν τις τοιοῦτος ἦν· πάλιν δ᾽ ἂν ἑτέρους εἶδες 5
(πέντε γὰρ οἱ πάντες ἐτύγχανον) ἠγριωμένῳ ταύρῳ παραβληθέντας,
ὃς τοὺς μὲν ἄλλους τῶν ἔξωθεν προσιόντων τοῖς κέρασιν εἰς τὸν
ἀέρα ῥίπτων διεσπάραττεν, ἡμιθνῆτας αἴρεσθαι καταλιπών, ἐπὶ
μόνους δὲ θυμῷ καὶ ἀπειλῇ τοὺς ἱεροὺς ὁρμῶν μάρτυρας οὐδὲ
πλησιάζειν αὐτοῖς οἷός τε ἦν, κυρίττων δὲ τοῖς ποσὶν καὶ τοῖς κέ-
ρασιν τῇδε κἀκεῖσε χρώμενος καὶ διὰ τοὺς ἀπὸ τῶν καυτήρων ἐρε-
θισμοὺς θυμοῦ καὶ ἀπειλῆς πνέων εἰς τοὐπίσω πρὸς τῆς ἱερᾶς ἀνθ-
είλκετο προνοίας, ὡς μηδὲ τούτου μηδὲν μηδαμῶς αὐτοὺς ἀδική-
σαντος ἕτερα ἄττα αὐτοῖς ἐπαφίεσθαι θηρία. τέλος δ᾽ οὖν μετὰ 6
τὰς δεινὰς καὶ ποικίλας τούτων προσβολὰς ξίφει κατασφαγέντες οἱ
πάντες ἀντὶ γῆς καὶ τάφων τοῖς θαλαττίοις παραδίδονται κύμασιν.
καὶ τοιοῦτος μὲν ὁ ἀγὼν τῶν κατὰ Τύρον τοὺς ὑπὲρ εὐσεβείας 8
ἄθλους ἐνδειξαμένων Αἰγυπτίων·
θαυμάσειε δ᾽ ἄν τις αὐτῶν καὶ τοὺς ἐπὶ τῆς οἰκείας γῆς μαρ- H
τυρήσαντας, ἔνθα μυρίοι τὸν ἀριθμόν, ἄνδρες ἅμα γυναιξὶν καὶ
παισίν, ὑπὲρ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας, τοῦ προσκαίρου
ζῆν καταφρονήσαντες, διαφόρους ὑπέμειναν θανάτους, οἳ μὲν αὐτῶν
μετὰ ξεσμοὺς καὶ στρεβλώσεις μάστιγάς τε χαλεπωτάτας καὶ μυρίας
ἄλλας ποικίλας καὶ φρικτὰς ἀκοῦσαι βασάνους πυρὶ παραδοθέντες,
756 οἳ δὲ πελάγει καταβροχθισθέντες, ἄλλοι δ᾽ εὐθαρσῶς τοῖς ἀπο-
τέμνουσιν τὰς ἑαυτῶν προτείναντες κεφαλάς, οἳ δὲ καὶ ἐναποθα-
νόντες ταῖς βασάνοις, ἕτεροι δὲ λιμῷ διαφθαρέντες, καὶ ἄλλοι πάλιν
ἀνασκολοπισθέντες, οἳ μὲν κατὰ τὸ σύνηθες τοῖς κακούργοις, οἳ δὲ
καὶ χειρόνως ἀνάπαλιν κάτω κάρα προσηλωθέντες τηρούμενοί τε
ζῶντες, εἰς ὅτε καὶ ἐπ᾽ αὐτῶν ἰκρίων λιμῷ διαφθαρεῖεν.
Πάντα δ᾽ ὑπεραίρει λόγον καὶ ἃς ὑπέμειναν αἰκίας καὶ ἀλγη- Θ 9 1
δόνας οἱ κατὰ Θηβαΐδα μάρτυρες, ὀστράκοις ἀντὶ ὀνύχων ὅλον τὸ

**754, 8. 18** Act. 9, 1

ATERBDMΣΛ

**7** *ποι* ABDΣ *που* T^c^ERM > T[1] | **11** *τισ τοιοῦτοσ* BDMΣ *τοιοῦτόσ τισ* TE *οὖν τοιοῦτόσ τισ* AR | **12** *πέντε — ἐτύγχανον* > BDΣ | **20** *δ᾽ οὖν* BDM *δὴ οὖν* ATER | **29** *μετὰ* AR^c^BDMΣΛ > TER[1]

**1** *καταβροχθισθέντες* Zimmermann *καταβροχισθέντεσ* *Π* | **2** *προτείναντεσ* RBDM *προτείνοντεσ* ATE

756 σῶμα καὶ μέχρις ἀπαλλαγῆς τοῦ βίου καταξαινόμενοι, γύναιά τε τοῖν
ποδοῖν ἐξ ἑνὸς ἀποδεσμούμενα μετέωρά τε καὶ διαέρια κάτω κεφαλὴν
μαγγάνοις τισὶν εἰς ὕψος ἀνελκόμενα γυμνοῖς τε παντελῶς καὶ μηδ'
ἐπικεκαλυμμένοις τοῖς σώμασιν θέαν ταύτην αἰσχίστην καὶ πάντων
ὠμοτάτην καὶ ἀπανθρωποτάτην τοῖς ὁρῶσιν ἅπασιν παρεσχημένα·
ἄλλοι δ' αὖ πάλιν δένδρεσιν καὶ πρέμνοις ἐναπέθνησκον δεσμού- 2
μενοι· τοὺς γὰρ μάλιστα στερροτάτους τῶν κλάδων μηχαναῖς τισιν
ἐπὶ ταὐτὸ συνέλκοντες εἰς ἑκάτερά τε τούτων τὰ τῶν μαρτύρων
ἀποτείνοντες σκέλη, εἰς τὴν ἑαυτῶν ἠφίεσαν τοὺς κλάδους φέρεσθαι
φύσιν, ἄθρουν τῶν μελῶν διασπασμὸν καθ' ὧν ταῦτ' ἐνεχείρουν
ἐπινοοῦντες. καὶ ταῦτά γε πάντα ἐνηργεῖτο οὐκ ἐπ' ὀλίγας ἡμέρας 3
ἢ χρόνον τινὰ βραχύν, ἀλλ' ἐπὶ μακρὸν ὅλων ἐτῶν διάστημα, ὁτὲ
μὲν πλειόνων ἢ δέκα, ὁτὲ δὲ ὑπὲρ τοὺς εἴκοσι τὸν ἀριθμὸν ἀναιρου-
μένων, ἄλλοτε δὲ οὐχ ἧττον καὶ τριάκοντα, ἤδη δ' ἐγγύς που ἑξή-
κοντα, καὶ πάλιν ἄλλοτε ἑκατὸν ἐν ἡμέρᾳ μιᾷ ἄνδρες ἅμα κομιδῇ
νηπίοις καὶ γυναιξὶν ἐκτείνοντο, ποικίλαις καὶ ἐναλλαττούσαις τι-
μωρίαις καταδικαζόμενοι. ἱστορήσαμεν δὲ καὶ αὐτοὶ ἐπὶ τῶν 4
τόπων γενόμενοι πλείους ἀθρόως κατὰ μίαν ἡμέραν τοὺς μὲν τῆς
κεφαλῆς ἀποτομὴν ὑπομείναντας, τοὺς δὲ τὴν διὰ πυρὸς τιμωρίαν,
ὡς ἀμβλύνεσθαι φονεύοντα τὸν σίδηρον ἀτονοῦντά τε διαθλᾶσθαι
αὐτούς τε τοὺς ἀναιροῦντας ἀποκάμνοντας ἀμοιβαδὸν ἀλλήλους δια-
δέχεσθαι· ὅτε καὶ θαυμασιωτάτην ὁρμὴν θείαν τε ὡς ἀληθῶς δύνα- 5
μιν καὶ προθυμίαν τῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότων
758 συνεωρῶμεν. ἅμα γοῦν τῇ κατὰ τῶν προτέρων ἀποφάσει ἐπε-
πήδων ἄλλοθεν ἄλλοι τῷ πρὸ τοῦ δικαστοῦ βήματι Χριστιανοὺς
σφᾶς ὁμολογοῦντες, ἀφροντίστως μὲν πρὸς τὰ δεινὰ καὶ τοὺς τῶν
πολυειδῶν βασάνων τρόπους διακείμενοι, ἀκαταπλήκτως δὲ παρρη-
σιαζόμενοι ἐπὶ τῇ εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείᾳ μετά τε χαρᾶς
καὶ γέλωτος καὶ εὐφροσύνης τὴν ὑστάτην ἀπόφασιν τοῦ θανάτου
καταδεχόμενοι, ὥστε ψάλλειν καὶ ὕμνους καὶ εὐχαριστίας εἰς τὸν
τῶν ὅλων θεὸν μέχρις αὐτῆς ἐσχάτης ἀναπέμπειν ἀναπνοῆς. θαυ- 6
μάσιοι μὲν οὖν καὶ οὗτοι, ἐξαιρέτως δ' ἐκεῖνοι θαυμασιώτεροι οἱ
πλούτῳ μὲν καὶ εὐγενείᾳ καὶ δόξῃ λόγῳ τε καὶ φιλοσοφίᾳ δια-

ATERBDMΣΛ

**11** nach *ἀνελκόμενα und gegeisselt* + Σ | **22** *που* BDM *που καὶ* ATER | **24/25** *τιμωρίαισ* RBDΣ *τιμωρίαισ θανάτου* ATEM | **25/26** *τῶν τόπων* AB, D¹ corr., MΣΛ *τὸν τόπον* TERD¹ | **28** *τε* BDMΣ *δὲ* ATER | **31** *τῶν* ATER *τὸν* M *τὴν* BD

**1** *προτέρων*] *ἁγίων* Σ [קדישא für קדמיא] | **3** *πρὸσ* ABDM *εἰσ* TER | **8** *ἀναπνοῆσ* ATER *πνοῆσ* BDM

758 πρέψαντες, πάντα γε μὴν δεύτερα θέμενοι τῆς ἀληθοῦς εὐσεβείας
καὶ τῆς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως,
οἷος Φιλόρωμος ἦν, ἀρχήν τινα οὐ τὴν τυχοῦσαν τῆς κατ' Ἀλεξάν- 7
δρειαν βασιλικῆς διοικήσεως ἐγκεχειρισμένος, ὃς μετὰ τοῦ ἀξιώματος
καὶ τῆς Ῥωμαϊκῆς τιμῆς, ὑπὸ στρατιώταις δορυφορούμενος, ἑκάστης
ἀνεκρίνετο ἡμέρας, Φιλέας τε τῆς Θμουϊτῶν ἐκκλησίας ἐπίσκοπος,
διαπρέψας ἀνὴρ ταῖς κατὰ τὴν πατρίδα πολιτείαις τε καὶ λειτουργίαις
ἔν τε τοῖς κατὰ φιλοσοφίαν λόγοις· οἳ καὶ μυρίων ὅσων πρὸς αἵ- 8
ματός τε καὶ τῶν ἄλλων φίλων ἀντιβολούντων, ἔτι μὴν τῶν ἐπ'
ἀξίας ἀρχόντων, πρὸς δὲ καὶ αὐτοῦ τοῦ δικαστοῦ παρακαλοῦντος
ὡς ἂν αὐτῶν οἶκτον λάβοιεν φειδώ τε παίδων καὶ γυναικῶν ποι-
ήσοιντο, οὐδαμῶς πρὸς τῶν τοσούτων ἐπὶ τὸ φιλοζωῆσαι μὲν ἑλέ-
σθαι, καταφρονῆσαι δὲ τῶν περὶ ὁμολογίας καὶ ἀρνήσεως τοῦ σω-
τῆρος ἡμῶν θεσμῶν ὑπήχθησαν, ἀνδρείῳ δὲ λογισμῷ καὶ φιλοσόφῳ,
μᾶλλον δὲ εὐσεβεῖ καὶ φιλοθέῳ ψυχῇ πρὸς ἁπάσας τοῦ δικαστοῦ
τάς τε ἀπειλὰς καὶ τὰς ὕβρεις ἐνστάντες, ἄμφω τὰς κεφαλὰς
ἀπετμήθησαν.

Ἐπεὶ δὲ καὶ τῶν ἔξωθεν μαθημάτων ἕνεκα πολλοῦ λόγου ἄξιον Ī 10 1
γενέσθαι τὸν Φιλέαν ἔφαμεν, αὐτὸς ἑαυτοῦ παρίτω μάρτυς, ἅμα μὲν
ἑαυτὸν ὅστις ποτ' ἦν, ἐπιδείξων, ἅμα δὲ καὶ τὰ κατ' αὐτὸν ἐν τῇ
Ἀλεξανδρείᾳ συμβεβηκότα μαρτύρια ἀκριβέστερον μᾶλλον ἢ ἡμεῖς
ἱστορήσων διὰ τούτων τῶν λέξεων

760 *ΑΠΟ ΤΩΝ ΦΙΛΕΟΥ ΠΡΟΣ ΘΜΟΥΙΤΑΣ ΓΡΑΜΜΑΤΩΝ*

›τούτων ἁπάντων ὑποδειγμάτων ἡμῖν καὶ ὑπογραμμῶν καὶ καλῶν 2
γνωρισμάτων ἐν ταῖς θείαις καὶ ἱεραῖς γραφαῖς κειμένων, οὐδὲν
›μελλήσαντες οἱ μακάριοι σὺν ἡμῖν μάρτυρες, τὸ τῆς ψυχῆς ὄμμα
›πρὸς τὸν ἐπὶ πάντων θεὸν καθαρῶς τείναντες καὶ τὸν ἐπ' εὐσε-
›βείᾳ θάνατον ἐν νῷ λαβόντες, ἀπρὶξ τῆς κλήσεως εἴχοντο, τὸν μὲν
›κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εὑρόντες ἐνανθρωπήσαντα δι' ἡμᾶς,
›ἵνα πᾶσαν μὲν ἁμαρτίαν ἐκκόψῃ, ἐφόδια δὲ τῆς εἰς τὴν αἰώνιον
›ζωὴν εἰσόδου ἡμῖν καταθῆται· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ
›εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λα-

**760, 9—12** Philipp. 2, 6—8

ATERBDMΣ [**—27** *ἀπετμήθησαν*], $Σ^{arm}$ [von **28** *ἐπεί*—**32** *λέξεων*], Λ

**16** *ὁμουιτῶν* BD | **21/22** *ποιήσαιντο* M | **25** *ἀπάσασ* BDM *πάσασ* ATER

**1** *ἀπὸ — γραμμάτων* $T^{m}E^{m}D^{m}$, nach *λέξεων* im Text BMΣΛ > AR | *φι-λέου* $T^{m}E^{m}$M *φιλοθέου* BD | **3** *κειμένων* ABDM *ἐγκειμένων* $T^{c}T^{r}$ER *ἐκείνων* $T^{1}$ | **9/10** *τὸ εἶναι* $AT^{c}$ERM *εἶναι* $T^{1}$BD

760 »βών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἑαυτὸν ἐταπεί-
»νωσεν ἕως θανάτου, θανάτου δὲ σταυροῦ· δι᾽ ὃ καὶ ζη- 3
»λώσαντες τὰ μείζονα χαρίσματα οἱ χριστοφόροι μάρτυρες πάντα
»μὲν πόνον καὶ παντοίας ἐπινοίας αἰκισμῶν οὐκ εἰς ἅπαξ, ἀλλ᾽ ἤδη
»καὶ δεύτερόν τινες ὑπέμειναν, πάσας δὲ ἀπειλὰς οὐ λόγοις μόνον,
»ἀλλὰ καὶ ἔργοις τῶν δορυφόρων κατ᾽ αὐτῶν φιλοτιμουμένων, οὐκ
»ἐνεδίδουν τὴν γνώμην διὰ τὸ τὴν τελείαν ἀγάπην ἔξω βάλλειν τὸν
»φόβον· ὧν καταλέγειν τὴν ἀρετὴν καὶ τὴν ἐφ᾽ ἑκάστῃ βασάνῳ 4
»ἀνδρείαν τίς ἂν ἀρκέσειεν λόγος; ἀνέσεως γὰρ οὔσης ἅπασι τοῖς
»βουλομένοις ἐνυβρίζειν, οἳ μὲν ξύλοις ἔπαιον, ἕτεροι δὲ ῥάβδοις,
»ἄλλοι δὲ μάστιξιν, ἕτεροι δὲ πάλιν ἱμᾶσιν, ἄλλοι δὲ σχοινίοις. καὶ 5
»ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη καὶ πολλὴν τὴν ἐν αὐτῇ
»κακίαν ἔχουσα. οἳ μὲν γὰρ ὀπίσω τὼ χεῖρε δεθέντες περὶ τὸ ξύλον
»ἐξηρτῶντο καὶ μαγγάνοις τισὶ διετείνοντο πᾶν μέλος, εἶθ᾽ οὕτως
762 »διὰ παντὸς τοῦ σώματος ἐπῆγον ἐκ κελεύσεως οἱ βασανισταί, οὐ
»καθάπερ τοῖς φονεῦσιν ἐπὶ τῶν πλευρῶν μόνον, ἀλλὰ καὶ τῆς
»γαστρὸς καὶ κνημῶν καὶ παρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι
»δὲ ἀπὸ τῆς στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι αἰωροῦντο, πάσης ἀλγη-
»δόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ μελῶν τάσιν ἔχοντες·
»ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντιπρόσωποι ἐδοῦντο, οὐ βεβηκόσιν τοῖς
»ποσίν, τῷ δὲ βάρει τοῦ σώματος βιαζομένων μετὰ τάσεως ἀνελκο-
»μένων τῶν δεσμῶν. καὶ τοῦθ᾽ ὑπέμενον, οὐκ ἐφ᾽ ὅσον προσδιελέ- 6
»γετο οὐδ᾽ αὐτοῖς ἐσχόλαζεν ὁ ἡγεμών, ἀλλὰ μόνον οὐχὶ δι᾽ ὅλης τῆς
»ἡμέρας. ὅτε γὰρ καὶ ἐφ᾽ ἑτέρους μετέβαινεν, τοῖς προτέροις κατε-
»λίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ αὐτοῦ ὑπηρετουμένους, εἴ πού
»τις ἡττηθεὶς τῶν βασάνων ἐνδιδόναι ἐδόκει, ἀφειδῶς δὲ κελεύων
»καὶ τοῖς δεσμοῖς προσιέναι καὶ μετὰ ταῦτα ψυχορραγοῦντας αὐτοὺς
»κατατιθεμένους εἰς τὴν γῆν ἕλκεσθαι· οὐ γὰρ εἶναι κἂν μέρος 7

**760, 13** I Kor. 12, 31 — **17/18** I Ioann. 4, 18

ATERBDMΣ [—**22** *ἐνηλλαγμένη*], Σ[arm] [von **22** *καὶ πολλήν*], Λ

**18** *ἑκάστῃ* TERM *ἑκάστῳ* ABD | **20** *ἔπαιον* TERBDM *ἐπαίοντο* ΑΣΛ | **22** *τὴν ἐν αὐτῇ* ABDM > TER

**1** *ἐπῆγον*] *πληγάς* nicht zu entbehren | **3** *τοῖς ἀμυντηρίοις ἐκόλαζον* unverständlich, mit *παρειῶν* schliesst der Satz ab | **4** *αἰωροῦντο* A, T[r] auf Rasur, ER *ἑωροῦντο* BM *ἠιωροῦντο* D[r] | **6** *βεβηκόσιν* DM *βεβηκόσι* AB (*indem die Füsse nicht*) *standen* Σ[arm] *βεβηκότεσ* TER | **7/8** *ἀνελκομένων* AT[1]BDM *καὶ ἀνελκομένων* T[c]ER *ἀνελκομένου* Phileas | **9** Phileas schrieb *αὐτοῖς οὐδ᾽* | **13** *καὶ τοῖς δεσμοῖς προσιέναι* nicht richtig, etwa *καὶ τοῖς* ⟨*μάστιξι καὶ τοῖς*⟩ *δεσμοῖς προστιθέναι*

762 »φροντίδος αὐτοῖς περὶ ἡμῶν, ἀλλ᾽ οὕτω καὶ διανοεῖσθαι καὶ πράτ-
»τειν, ὡς μηκέτ᾽ ὄντων, ταύτην δευτέραν βάσανον ἐπὶ ταῖς πληγαῖς
»τῶν ὑπεναντίων ἐφευρόντων. ἦσαν δὲ οἱ καὶ μετὰ τοὺς αἰκισμοὺς 8
»ἐπὶ τοῦ ξύλου κείμενοι, διὰ τῶν τεσσάρων ὀπῶν διατεταμένοι ἄμφω
»τὼ πόδε, ὡς καὶ κατὰ ἀνάγκην αὐτοὺς ἐπὶ τοῦ ξύλου ὑπτίους εἶναι,
»μὴ δυναμένους διὰ τὸ ἔναυλα τὰ τραύματα ἀπὸ τῶν πληγῶν καθ᾽
»ὅλου τοῦ σώματος ἔχειν· ἕτεροι δὲ εἰς τοὔδαφος ῥιφέντες ἔκειντο
»ὑπὸ τῆς τῶν βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν ὄψιν τῆς
»ἐνεργείας τοῖς ὁρῶσιν παρέχοντες, ποικίλας καὶ διαφόρους ἐν τοῖς
»σώμασιν φέροντες τῶν βασάνων τὰς ἐπινοίας. τούτων οὕτως ἐχόν- 9
»των οἳ μὲν ἐναπέθνῃσκον ταῖς βασάνοις, τῇ καρτερίᾳ καταισχύ-
»ναντες τὸν ἀντίπαλον, οἳ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ συγκλειό-
»μενοι, μετ᾽ οὐ πολλὰς ἡμέρας ταῖς ἀλγηδόσι συνεχόμενοι ἐτελειοῦντο,
764 »οἱ δὲ λοιποὶ τῆς ἀπὸ τῆς θεραπείας ἀνακτήσεως τυχόντες τῷ
»χρόνῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ θαρσαλεώτεροι ἐγίνοντο. οὕτω 10
»γοῦν, ἡνίκα προσετέτακτο αἱρέσεως κειμένης ἢ ἐφαψάμενον τῆς
»ἐναγοῦς θυσίας ἀνενόχλητον εἶναι, τῆς ἐπαράτου ἐλευθερίας παρ᾽
»αὐτῶν τυχόντα, ἢ μὴ θύοντα τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι,
»οὐδὲν μελλήσαντες ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρουν· ᾔδεσαν γὰρ
»τὰ ὑπὸ τῶν ἱερῶν γραφῶν ἡμῖν προορισθέντα. ὁ γὰρ θυσιάζων,
»φησίν, θεοῖς ἑτέροις ἐξολοθρευθήσεται, καὶ ὅτι οὐκ ἔσον-
»ταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ«.

τοιαῦται τοῦ ὡς ἀληθῶς φιλοσόφου τε ὁμοῦ καὶ φιλοθέου μάρ- 11
τυρος αἱ φωναὶ ἃς πρὸ τελευταίας ἀποφάσεως, ὑπὸ τὴν δεσμωτικὴν
ἔθ᾽ ὑπάρχων τάξιν, τοῖς κατὰ τὴν αὐτοῦ παροικίαν ἀδελφοῖς ἐπε-
στάλκει, ἅμα μὲν τὰ ἐν οἷς ἦν, ἀνατιθέμενος, ἅμα δὲ καὶ παρορμῶν
αὐτοὺς ἐπὶ τὸ ἀπρὶξ ἔχεσθαι καὶ μετ᾽ αὐτὸν ὅσον οὔπω τελειωθησό-
μενον τῆς ἐν Χριστῷ θεοσεβείας. ἀλλὰ τί χρὴ πολλὰ λέγειν καὶ 12
καινοτέρας ἐπὶ καινοτέραις τῶν ἀνὰ τὴν οἰκουμένην θεοπρεπῶν
μαρτύρων ἀθλήσεις παρατίθεσθαι, μάλιστα τῶν οὐκέτι μὲν κοινῷ
νόμῳ, πολέμου δὲ τρόπῳ πεπολιορκημένων;

**7/8** Exod. 22, 20 — **8/9** Exod. 20, 3

ATERBDMΣarm [—**13** παρορμῶν], Σ [von **14** αὐτούς], Λ

**16/17** ταύτην — ἐφευρόντων an falscher Stelle, vielleicht schrieb Phileas ταύτην ⟨δὲ⟩ δευτέραν — ἦσαν [δὲ] οἱ | **17** δὲ > R | **18** τεσσάρων ὀπῶν BD ὀπῶν TcERMΣarm ποδῶν AT¹ | **20/21** μὴ — ἔχειν an falscher Stelle | **20** nach δυναμένους + ἀνασχεῖν Tr + *sitzen* Σarm

**17** μάλιστα BDM καὶ μάλιστα ATER | οὐκέτι > Σ

764 Ἤδη γοῦν ὅλην Χριστιανῶν πολίχνην αὔτανδρον ἀμφὶ τὴν *ΙΑ* **11** 1
Φρυγίαν ἐν κύκλῳ περιβαλόντες ὁπλῖται πῦρ τε ὑφάψαντες κατέφλεξαν αὐτοῖς ἅμα νηπίοις καὶ γυναιξὶ τὸν ἐπὶ πάντων θεὸν ἐπιβοωμένοις, ὅτι δὴ πανδημεὶ πάντες οἱ τὴν πόλιν οἰκοῦντες λογιστής τε αὐτὸς καὶ στρατηγοὶ σὺν τοῖς ἐν τέλει πᾶσιν καὶ ὅλῳ δήμῳ Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, οὐδ᾽ ὁπωστιοῦν τοῖς προστάττουσιν
εἰδωλολατρεῖν ἐπειθάρχουν. καί τις ἕτερος Ῥωμαϊκῆς ἀξίας ἐπει- 2
λημμένος, Ἄδαυκτος τοὔνομα, γένος τῶν παρ᾽ Ἰταλοῖς ἐπισήμων,
766 διὰ πάσης προελθὼν ἀνὴρ τῆς παρὰ βασιλεῦσι τιμῆς, ὡς καὶ τὰς καθόλου διοικήσεις τῆς παρ᾽ αὐτοῖς καλουμένης μαγιστρότητός τε καὶ καθολικότητος ἀμέμπτως διελθεῖν, ἐπὶ πᾶσι τούτοις διαπρέψας τοῖς ἐν θεοσεβείᾳ κατορθώμασιν καὶ ταῖς εἰς τὸν Χριστὸν τοῦ θεοῦ ὁμολογίαις, τῷ τοῦ μαρτυρίου διαδήματι κατεκοσμήθη, ἐπ᾽ αὐτῆς τῆς τοῦ καθολικοῦ πράξεως τὸν ὑπὲρ εὐσεβείας ὑπομείνας ἀγῶνα.

Τί με χρὴ νῦν ἐπ᾽ ὀνόματος τῶν λοιπῶν μνημονεύειν ἢ τὸ *ΙΒ* **12** 1
πλῆθος τῶν ἀνδρῶν ἀριθμεῖν ἢ τὰς πολυτρόπους αἰκίας ἀναζωγραφεῖν τῶν θαυμασίων μαρτύρων, τοτὲ μὲν πέλυξιν ἀναιρουμένων, οἷα γέγονεν τοῖς ἐπ᾽ Ἀραβίας, τοτὲ δὲ τὰ σκέλη κατεαγνυμένων, οἷα τοῖς ἐν Καππαδοκίᾳ συμβέβηκεν, καὶ ποτὲ μὲν κατὰ κεφαλῆς ἐκ τοῖν ποδοῖν εἰς ὕψος ἀναρτωμένων καὶ μαλθακοῦ πυρὸς ὑποκαιομένου τῷ παραπεμπομένῳ καπνῷ τῆς φλεγομένης ὕλης ἀποπνιγομένων, οἷα τοῖς ἐν Μέσῃ τῶν ποταμῶν ἐπήχθη, ποτὲ δὲ ῥῖνας καὶ ὦτα καὶ χεῖρας ἀκρωτηριαζομένων τά τε λοιπὰ τοῦ σώματος μέλη τε
καὶ μέρη κρεουργουμένων, οἷα τὰ ἐπ᾽ Ἀλεξανδρείας ἦν; τί δεῖ 2
τῶν ἐπ᾽ Ἀντιοχείας ἀναζωπυρεῖν τὴν μνήμην, ἐσχάραις πυρὸς οὐκ εἰς θάνατον, ἀλλ᾽ ἐπὶ μακρᾷ τιμωρίᾳ κατοπτωμένων, ἑτέρων τε θᾶττον τὴν δεξιὰν αὐτῷ πυρὶ καθιέντων ἢ τῆς ἐναγοῦς θυσίας ἐφαπτομένων; ὧν τινες τὴν πεῖραν φεύγοντες, πρὶν ἁλῶναι καὶ εἰς

**18/19** vgl. Anal. Bolland. 22, 129 ff.

ATERBDMΣΛ

**19** *πολίχνην* ATER *πόλιν* BDM | **21** *αὐτοῖσ* TERBDM *αὐτοὺσ*A | *ἐπὶ πάντων θ̅ν̅* M *ἐπὶ πάντων θ̅ν̅ χ̅ν̅* A *θ̅ν̅* Σ *χ̅ν̅* TERBD | **21/22** *ἐπιβοωμένοισ* TERBD *ἐπιβοωμένουσ* A *μαρτυρομένοισ* M *schrien und bezeugten* Σ | **26** *τοὔνομα* T$^r$ERM *οὔνομα* AT$^1$BD

**1** *προελθὼν* TEBDM *διελθὼν* AR | **9** *μαρτύρων* BDMΣ *χ̅ν̅ μαρτύρων* ATER | *ἀναιρουμένων* A *ἀνῃρημένων* TERBDM | **10** *κατεαγνυμένων* ATERM *καταγνυμένων* BD | **14** *ἐπήχθη* AT$^1$M *ἐπηνέχθη* T$^c$ERBD | **15** *τε*$^2$ BDM > ATER | **18** *τε* RBDM *δὲ* ATEΣ | **19** *τὴν δεξιὰν* TERBDMΣ *τοῖν χεροῖν τὴν δεξιὰν* A | *αὐτῷ* BDM *αὐτῶν* ATER

766 χεῖρας τῶν ἐπιβούλων ἐλθεῖν, ἄνωθεν ἐξ ὑψηλῶν δωμάτων ἑαυτοὺς
κατεκρήμνισαν, τὸν θάνατον ἅρπαγμα θέμενοι τῆς τῶν δυσσεβῶν
μοχθηρίας. καί τις ἱερὰ καὶ θαυμασία τὴν τῆς ψυχῆς ἀρετήν, τὸ 3
δὲ σῶμα γυνὴ καὶ τὰ ἄλλα τῶν ἐπ' Ἀντιοχείας πλούτῳ καὶ γένει
καὶ εὐδοξίᾳ παρὰ πᾶσι βεβοημένη, παίδων ξυνωρίδα παρθένων τῇ
τοῦ σώματος ὥρᾳ καὶ ἀκμῇ διαπρεπουσῶν θεσμοῖς εὐσεβείας ἀναθρεψαμένη,
ἐπειδὴ πολὺς ὁ περὶ αὐτὰς κινούμενος φθόνος πάντα
τρόπον ἀνιχνεύων λανθανούσας περιειργάζετο, εἶτ' ἐπ' ἀλλοδαπῆς
768 αὐτὰς διατρίβειν μαθὼν πεφροντισμένως ἐπὶ τὴν Ἀντιόχειαν ἐκάλει
δικτύων τε ἤδη στρατιωτικῶν εἴσω περιβέβλητο, ἐν ἀμηχάνοις ἑαυτὴν
καὶ τὰς παῖδας θεασαμένη καὶ τὰ μέλλοντα ἐξ ἀνθρώπων δεινὰ
τῷ λόγῳ παραθεῖσα τό τε πάντων δεινῶν καὶ ἀφορητότερον, πορνείας
ἀπειλήν, μηδὲ ἄκροις ὠσὶν ὑπομεῖναι δεῖν ἀκοῦσαι ἑαυτῇ τε
καὶ ταῖς κόραις παρακελευσαμένη, ἀλλὰ καὶ τὸ προδοῦναι τὰς ψυχὰς
τῇ τῶν δαιμόνων δουλείᾳ πάντων ὑπάρχειν θανάτων καὶ πάσης
χεῖρον ἀπωλείας φήσασα, μίαν τούτων ἁπάντων εἶναι λύσιν ὑπετίθετο
τὴν ἐπὶ τὸν κύριον καταφυγήν, κἄπειτα ὁμοῦ τῇ γνώμῃ συνθέμεναι 4
τά τε σώματα περιστείλασαι κοσμίως τοῖς περιβλήμασιν, ἐπ' αὐτῆς
μέσης γενόμεναι τῆς ὁδοῦ, βραχύ τι τοὺς φύλακας εἰς ἀναχώρησιν ὑποπαραιτησάμεναι,
ἐπὶ παραρρέοντα ποταμὸν ἑαυτὰς ἠκόντισαν. αἵδε 5
μὲν οὖν ἑαυτάς· ἄλλην δ' ἐπ' αὐτῆς Ἀντιοχείας ξυνωρίδα παρθένων
τὰ πάντα θεοπρεπῶν καὶ ἀληθῶς ἀδελφῶν, ἐπιδόξων μὲν τὸ γένος,
λαμπρῶν δὲ τὸν βίον, νέων τοὺς χρόνους, ὡραίων τὸ σῶμα, σεμνῶν
τὴν ψυχήν, εὐσεβῶν τὸν τρόπον, θαυμαστῶν τὴν σπουδήν, ὡς ἂν
μὴ φερούσης τῆς γῆς τὰ τοιαῦτα βαστάζειν, θαλάττῃ ῥίπτειν ἐκέλευον
οἱ τῶν δαιμόνων θεραπευταί. ταῦτα μὲν οὖν παρὰ τοῖσδε·
τὰ φρικτὰ δὲ ἀκοαῖς κατὰ τὸν Πόντον ἔπασχον ἕτεροι, καλάμοις 6
ὀξέσιν τοῖν χεροῖν ἐξ ἄκρων ὀνύχων τοὺς δακτύλους διαπειρόμενοι,
καὶ ἄλλοι, πυρὶ μολίβδου διατακέντος, βρασσούσῃ καὶ πεπυρακτωμένῃ
τῇ ὕλῃ τὰ νῶτα καταχεόμενοι καὶ τὰ μάλιστα ἀναγκαιότατα
τοῦ σώματος κατοπτώμενοι, διά τε τῶν ἀπορρήτων ἕτεροι μελῶν 7
τε καὶ σπλάγχνων αἰσχρὰς καὶ ἀσυμπαθεῖς καὶ οὐδὲ λόγῳ ῥητὰς
ὑπέμενον πάθας, ἃς οἱ γενναῖοι καὶ νόμιμοι δικασταὶ τὴν σφῶν ἐπιδεικνύμενοι
δεινότητα, ὥσπερ τινὰ σοφίας ἀρετήν, φιλοτιμότερον

ATERBDMΣΔ

**2** δικτύων] γρ δια κ^τ^υων A^cm | τε BDM δὲ ATER | **3** καὶ[1] BDM τε καὶ ATER | **4** δεινῶν καὶ T[1] δεινὸν καὶ A, T[1] corr., ERM δεινῶν BD | **9** τῇ γνώμῃ BDM τὴν γνώμην ATER | **20** τοῖν T[1]RBDM ταῖν AT^r^E | **23** ἕτεραι Δ | **25** ὑπέμενον πάθασ ἃσ ATERΣ ὑπέμενον ὁπόσασ BD αἰκίασ ὑπέμενον ἃσ M | **25/26** ἐπιδεικνύμενοι ATER ἐνεπιδεικνύμενοι BDM

768 ἐπενόουν, αἰεὶ ταῖς καινότερον ἐφευρισκομέναις αἰκίαις, ὥσπερ ἐν
ἀγῶνος βραβείοις, ἀλλήλους ὑπερεξάγειν ἁμιλλώμενοι. τὰ δ᾽ οὖν 8
770 τῶν συμφορῶν ἔσχατα, ὅτε δὴ λοιπὸν ἀπειρηκότες ἐπὶ τῇ τῶν
κακῶν ὑπερβολῇ καὶ πρὸς τὸ κτείνειν ἀποκαμόντες πλησμονήν τε
καὶ κόρον τῆς τῶν αἱμάτων ἐκχύσεως ἐσχηκότες, ἐπὶ τὸ νομιζόμενον
αὐτοῖς χρηστὸν καὶ φιλάνθρωπον ἐτρέποντο, ὡς μηδὲν μὲν ἔτι
δοκεῖν δεινὸν καθ᾽ ἡμῶν περιεργάζεσθαι· μὴ γὰρ καθήκειν φασὶν 9
αἵμασιν ἐμφυλίοις μιαίνειν τὰς πόλεις μηδ᾽ ἐπ᾽ ὠμότητι τὴν ἀνω-
τάτω διαβάλλειν τῶν κρατούντων ἀρχήν, εὐμενῆ τοῖς πᾶσιν ὑπάρ-
χουσαν καὶ πραεῖαν, δεῖν δὲ μᾶλλον τῆς φιλανθρώπου καὶ βασιλικῆς
ἐξουσίας εἰς πάντας ἐκτείνεσθαι τὴν εὐεργεσίαν, μηκέτι θανάτῳ
κολαζομένους· λελύσθαι γὰρ αὐτῶν καθ᾽ ἡμῶν ταύτην τὴν τιμω-
ρίαν διὰ τὴν τῶν κρατούντων φιλανθρωπίαν. τηνικαῦτα ὀφθαλ- 10
μοὺς ἐξορύττεσθαι καὶ τοῖν σκελοῖν πηροῦσθαι θάτερον προσετάτ-
τετο. ταῦτα γὰρ ἦν αὐτοῖς τὰ φιλάνθρωπα καὶ τῶν καθ᾽ ἡμῶν
τιμωριῶν τὰ κουφότατα, ὥστε ἤδη ταύτης ἕνεκα τῆς τῶν ἀσεβῶν
φιλανθρωπίας οὐκέτ᾽ εἶναι δυνατὸν ἐξειπεῖν τὸ πλῆθος τῶν ὑπὲρ
πάντα λόγον τοὺς μὲν δεξιοὺς ὀφθαλμοὺς ξίφει πρότερον ἐκκοπτο-
μένων κἄπειτα τούτους πυρὶ καυτηριαζομένων, τοὺς δὲ λαιοὺς
πόδας κατὰ τῶν ἀγκυλῶν αὖθις καυτῆρσιν ἀχρειουμένων μετά τε
ταῦτα τοῖς κατ᾽ ἐπαρχίαν χαλκοῦ μετάλλοις οὐχ ὑπηρεσίας τοσοῦτον
ὅσον κακώσεως καὶ ταλαιπωρίας ἕνεκεν καταδικαζομένων πρὸς ἅπασί
τε τούτοις ἄλλων ἄλλοις ἀγῶσιν, οὓς μηδὲ καταλέγειν δυνατόν (νικᾷ
γὰρ πάντα λόγον τὰ κατ᾽ αὐτοὺς ἀνδραγαθήματα), περιπεπτωκό-
των. ἐν δὴ τούτοις ἐφ᾽ ὅλης τῆς οἰκουμένης διαλάμψαντες οἱ 11
μεγαλοπρεπεῖς τοῦ Χριστοῦ μάρτυρες τοὺς μὲν ἁπανταχοῦ τῆς ἀν-
δρείας αὐτῶν ἐπόπτας εἰκότως κατεπλήξαντο, τῆς δὲ τοῦ σωτῆρος
ἡμῶν θείας ὡς ἀληθῶς καὶ ἀπορρήτου δυνάμεως ἐμφανῆ δι᾽ ἑαυτῶν
τὰ τεκμήρια παρεστήσαντο. ἑκάστου μὲν οὖν ἐπ᾽ ὀνόματος μνημο-
νεύειν μακρὸν ἂν εἴη, μή τί γε τῶν ἀδυνάτων·

τῶν δὲ κατὰ τὰς ἐπισήμους πόλεις μαρτυρησάντων ἐκκλησιαστι- IΓ 13 1
κῶν ἀρχόντων πρῶτος ἡμῖν ἐν εὐσεβῶν στήλαις τῆς Χριστοῦ βασι-

ATERBDMΣΛ

**27** *αἰεὶ* AM *ἀεὶ* BD *εἶναι εἰ* TER | **28** *ἁμιλλώμενοι* BDM *διαμιλλώμενοι* ATER

**5** *περιεργάζεσθαι* ATER *ἐργάζεσθαι* BDM | **6/7** *τὴν ἀνωτάτω — τῶν κρατούντων* EBDMΣ *τῇ ἀνωτάτω — τῶν κρατούντων* T¹R *τῇ ἀνωτάτω — τὴν τῶν κρατούντων* ATr | **10** *αὐτῶν — ταύτην τὴν* ATER *ταύτην αὐτῶν τὴν* [BD *αὐτῶν — ταύτην αὐτῶν τὴν* M | **17** *κἄπειτα* MΣ *καὶ μετὰ τὴν ἐκκέντησιν* ATER > BD

772 λείας ἀνηγορεύσθω μάρτυς ἐπίσκοπος τῆς Νικομηδέων πόλεως, τὴν
κεφαλὴν ἀποτμηθείς, Ἄνθιμος, τῶν δ' ἐπ' Ἀντιοχείας μαρτύρων 2
τὸν πάντα βίον ἄριστος πρεσβύτερος τῆς αὐτόθι παροικίας, Λουκια-
νός, ἐν τῇ Νικομηδείᾳ καὶ αὐτὸς βασιλέως ἐπιπαρόντος τὴν οὐ-
ράνιον τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας, εἶτα
δὲ καὶ ἔργοις ἀνακηρύξας. τῶν δ' ἐπὶ Φοινίκης μαρτύρων γένοιντ' 3
ἂν ἐπισημότατοι τὰ πάντα θεοφιλεῖς τῶν λογικῶν Χριστοῦ θρεμμά-
των ποιμένες, Τυραννίων ἐπίσκοπος τῆς κατὰ Τύρον ἐκκλησίας
πρεσβύτερός τε τῆς κατὰ Σιδῶνα Ζηνόβιος καὶ ἔτι Σιλβανὸς τῶν
ἀμφὶ τὴν Ἔμισαν ἐκκλησιῶν ἐπίσκοπος. ἀλλ' οὗτος μὲν θηρίων 4
βορὰ μεθ' ἑτέρων ἐπ' αὐτῆς Ἐμίσης γενόμενος χοροῖς ἀνελήφθη
μαρτύρων, τὼ δ' ἐπ' Ἀντιοχείας ἄμφω τὸν τοῦ θεοῦ λόγον διὰ
τῆς εἰς θάνατον ὑπομονῆς ἐδοξασάτην, ὃ μὲν θαλαττίοις παραδο-
θεὶς βυθοῖς, ὁ ἐπίσκοπος, ὁ δὲ ἰατρῶν ἄριστος Ζηνόβιος ταῖς κατὰ
τῶν πλευρῶν ἐπιτεθείσαις αὐτῷ καρτερῶς ἐναποθανὼν βασά-
νοις. τῶν δ' ἐπὶ Παλαιστίνης μαρτύρων Σιλβανός, ἐπίσκοπος 5
τῶν ἀμφὶ τὴν Γάζαν ἐκκλησιῶν, κατὰ τὰ ἐν Φαινοῖ χαλκοῦ μέ-
ταλλα σὺν ἑτέροις ἑνὸς δέουσι τὸν ἀριθμὸν τεσσαράκοντα τὴν κεφα-
λὴν ἀποτέμνεται, Αἰγύπτιοί τε αὐτόθι Πηλεὺς καὶ Νεῖλος ἐπίσκοποι
μεθ' ἑτέρων τὴν διὰ πυρὸς ὑπέμειναν τελευτήν. καὶ τὸ μέγα δὲ 6
κλέος τῆς Καισαρέων παροικίας ἐν τούτοις ἡμῖν μνημονευέσθω
Πάμφιλος πρεσβύτερος, τῶν καθ' ἡμᾶς θαυμασιώτατος, οὗ τῶν
ἀνδραγαθημάτων τὴν ἀρετὴν κατὰ τὸν δέοντα καιρὸν ἀναγράψομεν.
τῶν δ' ἐπ' Ἀλεξανδρείας καθ' ὅλης τε Αἰγύπτου καὶ Θηβαΐδος δια- 7
πρεπῶς τελειωθέντων πρῶτος Πέτρος, αὐτῆς Ἀλεξανδρείας ἐπίσκο-
πος, θεῖόν τι χρῆμα διδασκάλων τῆς ἐν Χριστῷ θεοσεβείας, ἀναγε-
γράφθω, καὶ τῶν σὺν αὐτῷ πρεσβυτέρων Φαῦστος καὶ Δῖος καὶ
Ἀμμώνιος, τέλειοι Χριστοῦ μάρτυρες, Φιλέας τε καὶ Ἡσύχιος καὶ
Παχύμιος καὶ Θεόδωρος, τῶν ἀμφὶ τὴν Αἴγυπτον ἐκκλησιῶν ἐπίσκο-
774 ποι, μυρίοι τε ἐπὶ τούτοις ἄλλοι διαφανεῖς, οἳ πρὸς τῶν κατὰ χώ-
ραν καὶ τόπον παροικιῶν μνημονεύονται· ὧν ἀνὰ τὴν πᾶσαν οἰκου-

**3—5** vgl. 812, 10—15 — **9—12** vgl. 810, 28—812, 4 — **16—19** vgl. de mart. Palaest. 13, 4. 5. 10 — **19/20** vgl. ebenda 3 — **22/23** de mart. Palaest. 11 — **24**—S. 774, 1 vgl. 812, 4—10

ATERBDMΣΔ

**1** *ἀνηγορεύσθω* BDM *ἀναγορευέσθω* AR *ἀγορευέσθω* TE | **12** *τὼ* Schw *τῶν Π* | **23** *ἀναγράψομεν* Tcm ERMΣ *ἀναγράψωμεν* BD *ἀνεγράψαμεν* AT[1] | **24/25** *καθ'—τελειωθέντων* > Σ | **24** *τε* ABDΔ *τῆσ* TERM | **27** *δῖοσ* ATERΣΔ *δίδιοσ* BDM | **28/29** *καὶ Παχύμιος* > Σ

774 μένην ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἠγωνισμένων γραφῇ παραδι-
δόναι τοὺς ἄθλους ἐπ᾽ ἀκριβές τε ἕκαστα τῶν περὶ αὐτοὺς συμβεβη-
κότων ἱστορεῖν οὐχ ἡμέτερον, τῶν δ᾽ ὄψει τὰ πράγματα παρειληφότων
ἴδιον ἂν γένοιτο· οἷς γε μὴν αὐτὸς παρεγενόμην, τούτους καὶ τοῖς
μεθ᾽ ἡμᾶς γνωρίμους δι᾽ ἑτέρας ποιήσομαι γραφῆς. κατά γε μὴν 8
τὸν παρόντα λόγον τὴν παλινῳδίαν τῶν περὶ ἡμᾶς εἰργασμένων
τοῖς εἰρημένοις ἐπισυνάψω τά τε ἐξ ἀρχῆς τοῦ διωγμοῦ συμβεβηκότα,
χρησιμώτατα τυγχάνοντα τοῖς ἐντευξομένοις.

Τὰ μὲν οὖν πρὸ τοῦ καθ᾽ ἡμῶν πολέμου τῆς Ῥωμαίων ἡγε- ΙΔ 9
μονίας, ἐν ὅσοις δὴ χρόνοις τὰ τῶν ἀρχόντων φιλιά τε ἦν ἡμῖν καὶ
εἰρηναῖα, ὁπόσης ἀγαθῶν εὐφορίας καὶ εὐετηρίας ἠξίωτο, τίς ἂν
ἐξαρκέσειεν λόγος διηγήσασθαι; ὅτε καὶ οἱ μάλιστα τῆς καθόλου
κρατοῦντες ἀρχῆς δεκαετηρίδας καὶ εἰκοσαετηρίδας ἐκπλήσαντες,
ἐν ἑορταῖς καὶ πανηγύρεσιν φαιδροτάταις τε θαλίαις καὶ εὐφρο-
σύναις μετὰ πάσης εὐσταθοῦς διετέλουν εἰρήνης. οὕτω δ᾽ αὐ- 10
τοῖς ἀπαραποδίστως αὐξούσης καὶ ἐπὶ μέγα ὁσημέραι προϊούσης
τῆς ἐξουσίας, ἀθρόως τῆς πρὸς ἡμᾶς εἰρήνης μεταθέμενοι, πόλεμον
ἄσπονδον ἐγείρουσιν· οὔπω δ᾽ αὐτοῖς τῆς τοιᾶσδε κινήσεως δεύτερον 304/305
ἔτος πεπλήρωτο, καί τι περὶ τὴν ὅλην ἀρχὴν νεώτερον γεγονὸς τὰ
πάντα πράγματα ἀνατρέπει. νόσου γὰρ οὐκ αἰσίας τῷ πρωτο- 11
στάτῃ τῶν εἰρημένων ἐπισκηψάσης, ὑφ᾽ ἧς ἤδη καὶ τὰ τῆς δια-
νοίας εἰς ἔκστασιν αὐτῷ παρήγετο, σὺν τῷ μετ᾽ αὐτὸν δευτε-
ρείοις τετιμημένῳ τὸν δημώδη καὶ ἰδιωτικὸν ἀπολαμβάνει βίον·
776 οὔπω δὲ ταῦθ᾽ οὕτω πέπρακτο, καὶ διχῇ τὰ πάντα τῆς ἀρχῆς
διαιρεῖται, πρᾶγμα μηδ᾽ ἄλλοτέ πω πάλαι γεγονὸς μνήμῃ παραδεδο-
μένον. χρόνου δ᾽ οὐ πλεῖστον μεταξὺ γενομένου βασιλεὺς Κωνστάν- 12

**776, 1—3** vgl. de mart. Palaest. 13, 13

ATERBDMΣΔ

**9** *τε* T¹ERBDMΣarm > A, T durch Rasur, Σa | **12** *φιλιά* BDM *φίλα* ATER | *ἦν ἡμῖν* BDM *ἡμῖν ἦν* ATER | **13** *εὐφορίασ* A¹ corr., TERMΣ *εὐπορίασ* A¹BD | **15** *δεκαετηρίδας* Σ *δεκαετηρίδοσ καὶ εἰκοσιετηρίδοσ* [*ι*¹ in *α* corr. A¹] *τῆσ βασιλείασ* A | **23** *ἤδη* BDM *δὴ* ATER

**1—3** *οὔπω — παραδεδομένον*] der Satz, dessen Sinn nur durch Vergleichung der Parallelstelle in de mart. Palaest. erschlossen werden kann, ist dadurch unverständlich geworden, dass Euseb seine frühere Darstellung in der letzten Ausgabe seines Werks corrigiren musste, und diese Correctur nicht sorgfältig ausgeführt ist | **1** *δὲ ταῦθ᾽* BDMΣ *δὲ ταῦτ᾽ αὐτῶ* A *δ᾽ αὐτῶ ταῦθ᾽* TER | **2** *πρᾶγμα* TcERBDΣ *πράγματα* AT¹TrM

776 τιος τὸν πάντα βίον πρᾳότατα καὶ τοῖς ὑπηκόοις εὐνοϊκώτατα τῷ τε
θείῳ λόγῳ προσφιλέστατα διαθέμενος, παῖδα γνήσιον Κωνσταντῖνον
αὐτοκράτορα καὶ Σεβαστὸν ἀνθ' ἑαυτοῦ καταλιπών, κοινῷ φύσεως
νόμῳ τελευτᾷ τὸν βίον, πρῶτός τε ἐν θεοῖς ἀνηγορεύετο παρ' αὐτοῖς,
ἁπάσης μετὰ θάνατον, ὅση βασιλεῖ τις ἂν ὠφείλετο, τιμῆς ἠξιω-
μένος, χρηστότατος καὶ ἠπιώτατος βασιλέων· ὃς δὴ καὶ μόνος τῶν 13
καθ' ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατελέσας
χρόνον καὶ τἆλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρα-
σχὼν ἑαυτὸν τοῦ τε καθ' ἡμῶν πολέμου μηδαμῶς ἐπικοινωνήσας,
ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυ-
λάξας καὶ μήτε τῶν ἐκκλησιῶν τοὺς οἴκους καθελὼν μήθ' ἕτερόν τι
καθ' ἡμῶν καινουργήσας, τέλος εὔδαιμον καὶ τρισμακάριον ἀπείληφεν
τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ
διαδόχῳ γνησίῳ παιδὶ πάντα σωφρονεστάτῳ τε καὶ εὐσεβεστάτῳ
τελευτήσας. τούτου παῖς Κωνσταντῖνος εὐθὺς ἀρχόμενος βασι- 14
λεὺς τελεώτατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων καὶ ἔτι πολὺ
τούτων πρότερον πρὸς αὐτοῦ τοῦ παμβασιλέως θεοῦ ἀναγορευθείς,
778 ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας
κατεστήσατο. καὶ οὗτος μὲν τοιοῦτος· Λικίννιος δ' ἐπὶ τούτοις
ὑπὸ κοινῆς ψήφου τῶν κρατούντων αὐτοκράτωρ καὶ Σεβαστὸς ἀνα-
πέφηνεν. ταῦτα Μαξιμῖνον δεινῶς ἐλύπει, μόνον Καίσαρα παρὰ 15
πάντας εἰς ἔτι τότε χρηματίζοντα· ὃς δὴ οὖν τὰ μάλιστα τυραννι-
κὸς ὤν, παραρπάσας ἑαυτῷ τὴν ἀξίαν, Σεβαστὸς ἦν, αὐτὸς ὑφ' ἑαυ-
τοῦ γεγονώς. ἐν τούτῳ δὲ Κωνσταντίνῳ μηχανὴν θανάτου

9—S. 778, 2 vgl. den Rest der älteren Ausgabe 796, 19—797, 8

**778, 7—11** vgl. Vit. Const. 29, 22—26

ATERBDM, Σ [—778, 4 δεινῶς], Σ$^{arm}$ [von 4 ἐλύπει], Λ

**4—9** *τὸν πάντα βίον — ἠξιωμένος* Doublette des mit der älteren Ausgabe übereinstimmenden Stückes 9—S. 778, 2, die Eusebius in dieser Form nicht stehen lassen wollte, vgl. zu 1—3 | **7** ἐνθεοῖσ in ἐνθεοσ durch Rasur corr. M ἐν θεῶι Σ | ἀνηγορεύετο A, T$^1$ ετο auf Ras., ER ἀνηγόρευτο BDM | παρ' αὐτοῖς > Σ | **9**—S. 778, 2 *χρηστότατος — κατεστήσατο* das Stück kann erst in der letzten Ausgabe an diese Stelle gesetzt sein | **12** τε T$^c$ERBDM δὲ AT$^1$ | **15** εὔδαιμον ERBDM [= 797, 4] γρ εὔδαιμον T$^{cm}$ εὐδόκιμον AT γρ εὐδόκιμον E$^{1m}$ *das gute . . . Ende* Σ | **17** τε ABDM > TER [= 797, 6]

778 συρράπτων ἁλοὺς ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένος
αἰσχίστῳ καταστρέφει θανάτῳ· πρώτου δὲ τούτου τὰς ἐπὶ τιμῇ
γραφὰς ἀνδριάντας τε καὶ ὅσα τοιαῦτα ἐπ᾽ ἀναθέσει νενόμισται, ὡς
ἀνοσίου καὶ δυσσεβεστάτου καθῄρουν. τούτου παῖς Μαξέντιος, ὁ 14 1
τὴν ἐπὶ Ῥώμης τυραννίδα συστησάμενος, ἀρχόμενος μὲν τὴν καθ᾽
ἡμᾶς πίστιν ἐπ᾽ ἀρεσκείᾳ καὶ κολακείᾳ τοῦ δήμου Ῥωμαίων καθυπε-
κρίνατο ταύτῃ τε τοῖς ὑπηκόοις τὸν κατὰ Χριστιανῶν ἀνεῖναι
προστάττει διωγμόν, εὐσέβειαν ἐπιμορφάζων καὶ ὡς ἂν δεξιὸς καὶ
πολὺ πρᾶος παρὰ τοὺς προτέρους φανείη· οὐ μὴν οἷος ἔσεσθαι 2
ἠλπίσθη, τοιοῦτος ἔργοις ἀναπέφηνεν, εἰς πάσας δ᾽ ἀνοσιουργίας
ὀκείλας, οὐδὲν ὅ τι μιαρίας ἔργον καὶ ἀκολασίας παραλέλοιπεν, μοι-
χείας καὶ παντοίας ἐπιτελῶν φθοράς. διαζευγνὺς γέ τοι τῶν
ἀνδρῶν τὰς κατὰ νόμον γαμετάς, ταύταις ἐνυβρίζων ἀτιμότατα,
τοῖς ἀνδράσιν αὖθις ἀπέπεμπεν, καὶ ταῦτ᾽ οὐκ ἀσήμοις οὐδ᾽ ἀφα-
780 νέσιν ἐγχειρῶν ἐπετήδευεν, ἀλλ᾽ αὐτῶν δὴ μάλιστα τῶν τὰ πρῶτα
τῆς Ῥωμαίων συγκλήτου βουλῆς ἀπενηνεγμένων ἐμπαροινῶν τοῖς
ἐξοχωτάτοις. οἱ πάντες δ᾽ αὐτὸν ὑποπεπτηχότες, δῆμοι καὶ ἄρ- 3
χοντες, ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ κατετρύχοντο τυραννίδι, καὶ
οὐδ᾽ ἠρεμούντων καὶ τὴν πικρὰν φερόντων δουλείαν ἀπαλλαγή τις
ὅμως ἦν τῆς τοῦ τυράννου φονώσης ὠμότητος. ἐπὶ σμικρᾷ γοῦν
ἤδη ποτὲ προφάσει τὸν δῆμον εἰς φόνον τοῖς ἀμφ᾽ αὐτὸν δορυ-
φόροις ἐκδίδωσιν, καὶ ἐκτείνετο μυρία τοῦ δήμου Ῥωμαίων πλήθη,

**19**—S. 780, 3 vgl. Vit. Const. 23, 5—9
**3**—**22** vgl. Vit. Const. 23, 25—24, 13

ATERBDMΣarm *Λ*

**8** ἁλοὺσ ATERM λαοὺσ BD | ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένοσ T¹EBD ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι βεβουλημένοσ TrR μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένοσ M > A τὸν ἑρκούλιον φησὶ Tem [getilgt], μαξιμιανὸν φησὶ τὸν ἑρκούλιον Em *Maximianus uero qui et Herculius, quem paulo ante collegam fuisse Diocletiani et cum eo imperii insignia deposuisse memorauimus Λ*, für die ganze Stelle ἐν τούτωι δὲ — θανάτωι setzt Σarm ein *es schmiedete gegen Constantin einen Mordplan Likianes, von dem wir oben gesagt haben, dass er, als von ihm genommen wurde seine Herrschaft, wie ein gewöhnlicher Mann lebte. Als aber sein Verrath offenbar wurde, ereilte ihn böser Tod*; zu ἐπανῃρῆσθαι ist τὴν ἀρχήν nicht zu entbehren, δεδηλωμένος verweist auf eine nicht vorhandene Erzählung, vgl. zu 776, 1—3 | **19** καὶ BDM τε καὶ ATER | **20** ταύταισ TEBDM [vgl. αὐταῖς Vit. Const. 23, 6] ταύτασ AR

**4** τε καὶ ἄδοξοι ATERM [= Vit. Const. 23, 26] > BDΣarm | **8** ἐκτείνετο ATERΣarm κτείνει M κτείνετο BD

780 ἐπὶ μέσης τῆς πόλεως, οὐ Σκυθῶν οὐδὲ βαρβάρων ἀλλ' αὐτῶν τῶν
οἰκείων δόρασι καὶ πανοπλίαις· συγκλητικῶν γε μὴν φόνος ὁπόσος 4
δι' ἐπιβουλὴν ἐνηργεῖτο τῆς οὐσίας, οὐδ' ἐξαριθμήσασθαι δυνατόν,
ἄλλοτε ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων. ἡ δὲ 5
τῶν κακῶν τῷ τυράννῳ κορωνὶς ἐπὶ γοητείαν ἤλαυνεν, μαγικαῖς
ἐπινοίαις τοτὲ μὲν γυναῖκας ἐγκύμονας ἀνασχίζοντος, τοτὲ δὲ νεο-
γνῶν σπλάγχνα βρεφῶν διερευνωμένου λέοντάς τε κατασφάττοντος
καί τινας ἀρρητοποιίας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν
τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ αὐτῷ τὰ τῆς νίκης
κατορθωθήσεσθαι ἡ πᾶσα ἐτύγχανεν ἐλπίς. οὗτος μὲν οὖν ἐπὶ Ῥώ- 6
μης τυραννῶν οὐδ' ἔστιν εἰπεῖν οἷα δρῶν τοὺς ὑπηκόους κατεδου-
λοῦτο, ὡς ἤδη καὶ τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ σπάνει καὶ
ἀπορίᾳ καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ' ἄλλοτε οἱ καθ' ἡμᾶς γενέ-
σθαι μνημονεύουσιν· ὁ δ' ἐπ' ἀνατολῆς τύραννος Μαξιμῖνος, ὡς ἂν 7
πρὸς ἀδελφὸν τὴν κακίαν, πρὸς τὸν ἐπὶ Ῥώμης φιλίαν κρύβδην
σπενδόμενος, ἐπὶ πλεῖστον χρόνον λανθάνειν ἐφρόντιζεν· φωραθείς
γέ τοι ὕστερον δίκην τίννυσι τὴν ἀξίαν. ἦν δὲ θαυμάσαι ὅπως 8
καὶ οὗτος τὰ συγγενῆ καὶ ἀδελφά, μᾶλλον δὲ κακίας τὰ πρῶτα
καὶ τὰ νικητήρια τῆς τοῦ κατὰ Ῥώμην τυράννου κακοτροπίας
782 ἀπενηνεγμένος· γοήτων τε γὰρ καὶ μάγων οἱ πρῶτοι τῆς ἀνωτάτω
παρ' αὐτῷ τιμῆς ἠξίωντο, ψοφοδεοῦς ἐς τὰ μάλιστα καὶ δεισιδαι-
μονεστάτου καθεστῶτος τήν τε περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας
περὶ πολλοῦ τιθεμένου πλάνην· μαντειῶν γοῦν δίχα καὶ χρησμῶν
οὐδὲ μέχρις ὄνυχος ὡς εἰπεῖν τολμᾶν τι κινεῖν οἷός τε ἦν· οὗ χάριν 9
καὶ τῷ καθ' ἡμῶν σφοδρότερον ἢ οἱ πρόσθεν καὶ πυκνότερον ἐπε-
τίθετο διωγμῷ, νεὼς κατὰ πᾶσαν πόλιν ἐγείρειν καὶ τὰ χρόνου μήκει καθῃρημένα τεμένη διὰ σπουδῆς ἀνανεοῦσθαι προστάττων ἱερέας τε εἰδώλων κατὰ πάντα τόπον καὶ πόλιν καὶ ἐπὶ τούτων ἑκάστης ἐπαρχίας ἀρχιερέα τῶν ἐν πολιτείαις ἕνα γέ τινα τῶν μάλιστα ἐμφανῶς διὰ πάσης ἐμπρέψαντα λειτουργίας μετὰ στρατιωτικοῦ στίφους καὶ δορυφορίας ἐκτάσσων ἀνέδην τε πᾶσιν γόησιν, ὡς ἂν εὐσεβέσιν καὶ θεῶν προσφιλέσιν, ἡγεμονίας καὶ τὰς μεγίστας

**5—12** vgl. 808, 22—810, 1

ATERBDM, Σarm [— 2 ἠξίωντο], Σ [von 2 ψοφοδεοῦς], Λ

**21** ἄλλοτέ ποτε B[1] [= Vit. Const. 24, 13], corr. B[1] | **25** θαυμάσαι ATER BDΣarm θαυμασίωσ M mit guter Conjectur, vgl. aber zu 776, 1—3. 778, 8

**7** νεὼσ ATERΣ ἕωσ BD ἕωσ M | **8** προστάττων TERBDMΣΛ γρ προστάττων A[1m] σπουδάζων A | **10** ἕνα γε ATRBDΣ γρ ἕνα γέ τινα E[1m] ἐναγῆ EM γρ ἐναγῆ τινα Tcm | τῶν ATER[1]D τὸν RcBM | **12** δωροφορίας [salariis] Λ | ἀνέδην TrD ἀναίδην AT[1]ERBM

782 προνομίας δωρούμενος. ἐκ δὴ τούτων ὁρμώμενος, πόλιν μὲν οὐ 10
μίαν οὐδὲ χώραν, ὅλας δὲ ἄρδην τὰς ὑπ᾽ αὐτὸν ἐπαρχίας χρυσοῦ
καὶ ἀργύρου καὶ χρημάτων ἀμυθήτων εἰσπράξεσιν ἐπισκήψεσίν τε
βαρυτάταις καὶ ἄλλοτε ἄλλαις καταδίκαις ἠνία καὶ κατεπίεζεν. τῶν
γε μὴν εὐπόρων τὰς ἐκ προγόνων περιποιηθείσας οὐσίας ἀφαιρού-
μενος, πλούτους ἀθρόως καὶ σωροὺς χρημάτων τοῖς ἀμφ᾽ αὐτὸν
κόλαξιν ἐδωρεῖτο. παροινίας γε μὴν καὶ μέθης ἐς τοσαύτην 11
ἠνέχθη φοράν, ὡς ἐν τοῖς πότοις παρακόπτειν καὶ τῶν φρενῶν
παρεξίστασθαι τοιαῦτά τε μεθύοντα προστάττειν, οἷα ἀνανήψαντα
αὐτὸν τῇ ὑστεραίᾳ εἰς μετάμελον ἄγειν· κραιπάλης δὲ καὶ ἀσωτίας
μηδενὶ καταλιπὼν ὑπερβολήν, κακίας διδάσκαλον τοῖς ἀμφ᾽ αὐτὸν
ἄρχουσί τε καὶ ἀρχομένοις ἑαυτὸν καθίστη, θρύπτεσθαι μὲν τὸ
στρατιωτικὸν διὰ πάσης τρυφῆς τε καὶ ἀκολασίας ἐνάγων, ἡγε-
μόνας δὲ καὶ στρατοπεδάρχας δι᾽ ἁρπαγῶν καὶ πλεονεξίας χωρεῖν
784 κατὰ τῶν ὑπηκόων μόνον οὐχὶ συντυραννοῦντας αὐτῷ προκαλού-
μενος. τί δεῖ τὰς ἐμπαθεῖς τἀνδρὸς αἰσχρουργίας μνημονεύειν ἢ 12
τῶν πρὸς αὐτοῦ μεμοιχευμένων ἀπαριθμεῖσθαι τὴν πληθύν; οὐκ
ἦν γέ τοι πόλιν αὐτὸν παρελθεῖν μὴ οὐχὶ ἐκ παντὸς φθορὰς γυναι-
κῶν παρθένων τε ἁρπαγὰς εἰργασμένον. κατὰ πάντων γέ τοι 13
αὐτῷ ταῦτα προυχώρει, μὴ ὅτι μόνων Χριστιανῶν· οἳ θανάτου
καταφρονήσαντες παρ᾽ οὐθὲν αὐτοῦ τὴν τοσαύτην ἔθεντο τυραν-
νίδα. οἱ μὲν γὰρ ἄνδρες ἀνατλάντες πῦρ καὶ σίδηρον καὶ προση-
λώσεις θῆράς τε ἀγρίους καὶ θαλάττης βυθοὺς ἀποτομάς τε μελῶν
καὶ καυτῆρας καὶ ὀφθαλμῶν κεντήσεις τε καὶ ἐξορύξεις καὶ τοῦ
παντὸς σώματος ἀκρωτηριασμοὺς λιμόν τε ἐπὶ τούτοις καὶ μέταλλα
καὶ δεσμά, ἐπὶ πάντων μᾶλλον ὑπομονὴν τὴν ὑπὲρ εὐσεβείας ἐνε-
δείξαντο ἢ τὸ σέβας τὸ εἰς θεὸν εἰδώλοις ἀντικατηλλάξαντο· αἱ δ᾽ 14
αὖ γυναῖκες οὐχ ἧττον τῶν ἀνδρῶν ὑπὸ τῆς τοῦ θείου λόγου δι-
δασκαλίας ἠρρενωμέναι, αἳ μὲν τοὺς αὐτοὺς τοῖς ἀνδράσιν ἀγῶνας
ὑποστᾶσαι ἴσα τῆς ἀρετῆς ἀπηνέγκαντο βραβεῖα, αἳ δὲ ἐπὶ φθορὰν
ἑλκόμεναι θᾶττον τὴν ψυχὴν θανάτῳ ἢ τὸ σῶμα τῇ φθορᾷ παρα-

**8—18** vgl. Laud. Const. 214, 1—9 — **16—18** vgl. Vit. Const. 23, 12. 13

ATERBDMΣΔ

**23** *εἰσ μετάμελον* ATERΣ *εἰσ τὰ μέλλον* M *μετάμελον* BD

**8** *ἀνατλάντεσ* ABDM *ἀνατλήσαντεσ* T [*τ* und *η* auf Rasur Tr], ER | **10/11** *τοῦ παντὸσ* BDM [= Laud. Const. 214, 3] *τοὺσ παντὸσ τοῦ* ATER | **13** *ἢ—ἀντικατηλλάξαντο* ATERΣ > BDM | **15** *ἠρρενωμέναι* TERBD [= Laud. Const. 214, 6] *ἠρεννωμέναι* A *ἐρρωμέναι* MΣ | **17** *τῆι φθορᾶι* > B [= Laud. Const. 214, 9 HSS]

784 δεδώκασιν. μόνη γοῦν τῶν ὑπὸ τοῦ τυράννου μεμοιχευμένων 15
Χριστιανὴ τῶν ἐπ᾽ Ἀλεξανδρείας ἐπισημοτάτη τε καὶ λαμπροτάτη
τὴν ἐμπαθῆ καὶ ἀκόλαστον Μαξιμίνου ψυχὴν δι᾽ ἀνδρειοτάτου παρα-
στήματος ἐξενίκησεν, ἔνδοξος μὲν τὰ ἄλλα πλούτῳ τε καὶ γένει καὶ
παιδείᾳ, πάντα γε μὴν δεύτερα σωφροσύνης τεθειμένη· ἣν καὶ πολλὰ
λιπαρήσας, κτεῖναι μὲν ἑτοίμως θνῄσκειν ἔχουσαν οὐχ οἷός τε ἦν,
τῆς ἐπιθυμίας μᾶλλον τοῦ θυμοῦ κατακρατούσης αὐτοῦ, φυγῇ δὲ
ζημιώσας πάσης ἀφείλετο τῆς οὐσίας. μυρίαι δὲ ἄλλαι πρὸς τῶν 16
κατ᾽ ἔθνος ἀρχόντων, πορνείας ἀπειλὴν μηδ᾽ ἀκοῦσαι δεδυνημέναι,
786 πᾶν εἶδος βασάνων καὶ στρεβλώσεων καὶ θανατηφόρου κολάσεως
ὑπέστησαν. θαυμασταὶ μὲν οὖν καὶ αὗται, ὑπερφυῶς γε μὴν θαυ-
μασιωτάτη ἡ ἐπὶ Ῥώμης εὐγενεστάτη τῷ ὄντι καὶ σωφρονεστάτη
γυνὴ πασῶν αἷς ἐμπαροινεῖν ὁ ἐκεῖσε τύραννος Μαξέντιος, τὰ ὅμοια
Μαξιμίνῳ δρῶν, ἐπειρᾶτο. ὡς γὰρ ἐπιστάντας τῷ οἴκῳ τοὺς τὰ 17
τοιαῦτα τῷ τυράννῳ διακονουμένους ἐπύθετο (Χριστιανὴ δὲ καὶ
αὕτη ἦν), τόν τε ἄνδρα τὸν αὐτῆς, καὶ ταῦτα Ῥωμαίων ὄντα ἔπ-
αρχον, τοῦ δέους ἕνεκα λαβόντας ἄγειν αὐτὴν ἐπιτρέψαντα, ἐς βραχὺ
ὑποπαραιτησαμένη, ὡς ἂν δὴ κατακοσμηθείη τὸ σῶμα, εἴσεισιν ἐπὶ
τοῦ ταμιείου καὶ μονωθεῖσα ξίφος καθ᾽ ἑαυτῆς πήγνυσιν, θανοῦσά
τε παραχρῆμα, τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλιμπάνει, ἔργοις
δ᾽ αὐτοῖς ἁπάσης φωνῆς γεγωνοτέροις, ὅτι μόνον χρημάτων ἀήττη-
τόν τε καὶ ἀνώλεθρον ἡ παρὰ Χριστιανοῖς ἀρετὴ πέφυκεν, εἰς πάν-
τας ἀνθρώπους τούς τε νῦν ὄντας καὶ τοὺς μετὰ ταῦτα γενησο-
μένους ἐξέφηνεν. τοσαύτη δῆτα κακίας φορὰ ὑφ᾽ ἕνα καὶ τὸν 18
αὐτὸν συνηνέχθη καιρὸν πρὸς τῶν δύο τυράννων ἀνατολὴν καὶ
δύσιν διειληφότων κατεργασθεῖσα· τίς δ᾽ ἂν τὴν τῶν τοσούτων
διερευνώμενος αἰτίαν διστάξαι μὴ οὐχὶ τὸν καθ᾽ ἡμῶν διωγμὸν ἀπο-
φήνασθαι; ὅτε γε μάλιστα οὐ πρότερον τὰ τῆς τοσῆσδε πέπαυτο
συγχύσεως ἢ Χριστιανοὺς τὰ τῆς παρρησίας ἀπολαβεῖν.

**25**—S. 786, 2 vgl. Laud. Const. 214, 9—12
**5—15** vgl. Vit. Const. 23, 15—24

ATERBDMΣΛ

**18/19** Rufin fügt den Namen *Dorothea* hinzu | **18** τῶν TEBDM τῶν ἄλλων AR | **21** ἐξενίκησεν BD ὑπεξενίκησεν $T^1$ ὑπερεξενίκησεν AERM ὑπερενίκησεν $T^r$, $T^c$ getilgt | μὲν BDM μὲν οὖν ATER | **25** πάσησ—τῆσ οὐσίασ TERBDM πᾶσαν — τὴν οὐσίαν A

**3/4** Rufin fügt den Namen *Sophronia* hinzu | **8** ἄγειν αὐτὴν ATERM αὐτὴν ἄγειν BD [ἀπάγειν αὐτὴν und αὐτὴν ἀπάγειν Vit. Const. 23, 17 HSS] | βραχὺ T durch Rasur corr., ER βραχὺν $AT^1BDM$ *eine kurze Weile* Σ *paullulum* Λ βραχὺν χρόνον [ohne ἐς] Vit. Const. 23, 17/18

786 Διὰ παντός γέ τοι τοῦ κατὰ τὸν διωγμὸν δεκαέτους χρόνου τῶν ΙΕ 15 1
εἰς ἐπιβουλὴν καὶ πόλεμον τὸν κατ' ἀλλήλων οὐδὲν αὐτοὺς διαλέ-
λοιπεν. ἄπλωτα μὲν τὰ κατὰ θάλατταν ἦν οὐδ' ἐξῆν ποθεν
καταπλεύσαντας μὴ οὐχὶ πάσαις αἰκίαις ὑπάγεσθαι στρεβλουμένους
καὶ τὰς πλευρὰς καταξαινομένους βασάνοις τε παντοίαις, μὴ ἄρα
παρὰ τῶν δι' ἐναντίας ἐχθρῶν ἥκοιεν, ἀνακρινομένους καὶ τέλος
788 σταυροῖς ἢ τῇ διὰ πυρὸς ὑπαγομένους κολάσει· ἀσπίδων ἐπὶ τούτοις 2
καὶ θωρήκων παρασκευαὶ βελῶν τε καὶ δοράτων καὶ τῆς ἄλλης
πολεμικῆς παρατάξεως ἑτοιμασίαι τριήρων τε καὶ τῶν κατὰ ναυ-
μαχίαν ὅπλων κατὰ πάντα συνεκροτοῦντο τόπον οὐδ' ἦν ἄλλο τι
παντί τῳ προσδοκᾶν ἢ πολέμων κατὰ πᾶσαν ἔφοδον ἡμέραν. τού-
τοις καὶ ὁ μετὰ ταῦτα λιμός τε καὶ λοιμὸς ἐγκατασκήπτει, περὶ ὧν
κατὰ καιρὸν ἱστορήσομεν τὰ δέοντα.

Τοιαῦτ' ἦν τὰ διὰ παντὸς τοῦ διωγμοῦ παρατετακότα, δεκάτῳ Ις 16 1
μὲν ἔτει σὺν θεοῦ χάριτι παντελῶς πεπαυμένου, λωφᾶν γε μὴν μετ' 312/3
ὄγδοον ἔτος ἐναρξαμένου. ὡς γὰρ τὴν εἰς ἡμᾶς ἐπισκοπὴν εὐ- 310/1
μενῆ καὶ ἵλεω ἡ θεία καὶ οὐράνιος χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ
οἱ καθ' ἡμᾶς ἄρχοντες, αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ'
ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξότατα μεταθέμενοι τὴν γνώμην,
παλινῳδίαν ᾖδον χρηστοῖς περὶ ἡμῶν προγράμμασιν καὶ διατάγμασιν
ἡμερωτάτοις τὴν ἐπὶ μέγα ἀφθεῖσαν τοῦ διωγμοῦ πυρκαϊὰν σβεν-
νύντες. οὐκ ἀνθρώπινον δέ τι τούτου κατέστη αἴτιον οὐδ' οἶκτος, 2
ὡς ἂν φαίη τις, ἢ φιλανθρωπία τῶν ἀρχόντων· πολλοῦ δεῖ· πλείω
γὰρ ὁσημέραι καὶ χαλεπώτερα ἀρχῆθεν καὶ εἰς ἐκεῖνο τοῦ καιροῦ
τὰ καθ' ἡμῶν αὐτοῖς ἐπενοεῖτο, ποικιλωτέραις μηχαναῖς ἄλλοτε
ἄλλως τὰς καθ' ἡμῶν αἰκίας ἐπικαινουργούντων· ἀλλ' αὐτῆς γε τῆς
θείας προνοίας ἐμφανὴς ἐπίσκεψις, τῷ μὲν αὐτῆς καταλλαττο-
μένης λαῷ, τῷ δ' αὐθέντῃ τῶν κακῶν ἐπεξιούσης. μέτεισιν δ' οὖν
αὐτὸν θεήλατος κόλασις, ἐξ αὐτῆς αὐτοῦ καταρξαμένη σαρκὸς καὶ

**788, 22** Aus der früheren Ausgabe schieben ATER nach *ἐπεξιούσης* ein: *καὶ πρωτοστάτῃ τῆς τοῦ παντὸς διωγμοῦ κακίας ἐπιχολουμένης. καὶ γὰρ εἴ τι ταῦτ' ἐχρῆν* 3

**6/7** 820, 9f. — **22** — S. 790, 8 vgl. Vit. Const. 34, 10—18

ATERBDMΣΔ

**23** *μὲν* TERBDM *μὲν γὰρ* AΣ

**2** *θωρήκων* TER$^1$BD *θωρητικῶν* M *θωράκων* AR$^c$ | **5** *πολέμων* T$^1$BDMΣ *πολεμίων* AT$^c$T$^r$ER | **6** *ἐγκατασκήπτει* ATER *κατασκήπτει* BDM | **7** *ἱστορήσαμεν* MΣ | **8** *τοιαῦτ' ἦν* ATER *τοιαύτην* BDM | **18** *ἀρχῆθεν καὶ* BDM *ἀρχῆθεν* ATER | **21** *ἐπίσκεψισ* AT$^c$ERMΣ *ἐπίσκηψισ* T$^1$BD | *αὐτῆσ* AT$^1$BD *ἑαυτῆσ* T$^c$ERM | **22** *δ' οὖν* TERM *γ' οὖν* ABD

790 μέχρι τῆς ψυχῆς προελθοῦσα. ἀθρόα μὲν γὰρ περὶ τὰ μέσα τῶν 4
ἀπορρήτων τοῦ σώματος ἀπόστασις αὐτῷ γίνεται, εἶθ' ἕλκος ἐν βάθει συριγγῶδες καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτω σπλάγχνων· ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν θανατώδη τε ὀδμὴν ἀποπνεῖν, τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλήθους πιμελῆς μεταβεβληκότος, ἣν τότε κατασαπεῖσαν ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσιν παρέχειν τὴν θέαν. ἰατρῶν δ' οὖν οἳ μὲν οὐδ' ὅλως 5
ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀτοπίαν οἷοί τε, κατεσφάττοντο, οἳ δὲ διῳδηκότος τοῦ παντὸς ὄγκου καὶ εἰς ἀνέλπιστον σωτηρίας ἀποπεπτωκότος μηδὲν ἐπικουρεῖν δυνάμενοι, ἀνηλεῶς ἐκτείνοντο. καὶ δὴ τοσούτοις παλαίων κακοῖς συναίσθησιν τῶν IZ 17 1
κατὰ τῶν θεοσεβῶν αὐτῷ τετολμημένων ἴσχει, συναγαγὼν δ' οὖν εἰς ἑαυτὸν τὴν διάνοιαν, πρῶτα μὲν ἀνθομολογεῖται τῷ τῶν ὅλων θεῷ, εἶτα τοὺς ἀμφ' αὐτὸν ἀνακαλέσας, μηδὲν ὑπερθεμένους τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν ἐπισπέρχειν καὶ τὰ συνήθη διαπράττεσθαι, εὐχὰς ὑπὲρ τοῦ βασιλείου ποιουμένους, προστάττει. αὐτίκα γοῦν ἔργου 2
τῷ λόγῳ παρηκολουθηκότος, ἥπλωτο κατὰ πόλεις βασιλικὰ διατάγματα, τὴν παλινῳδίαν τῶν καθ' ἡμᾶς τοῦτον περιέχοντα τὸν τρόπον

›Αὐτοκράτωρ Καῖσαρ Γαλέριος Οὐαλέριος Μαξιμιανὸς ἀνίκητος 3

788 κατὰ θείαν γενέσθαι κρίσιν, ἀλλὰ ›οὐαί‹, φησὶν ὁ λόγος, ›δι' οὗ δᾶν τὸ σκάνδαλον ἔρχηται‹.

**12—18** vgl. Vit. Const. 34, 18—23
**788, 26/27** Luc. 17, 1

ATER, B [—19 *κατὰ*], b [von 19 *πόλεις*], DMΣΔ

**2** *αὐτῷ γίνεται* BDM *γίγνεται αὐτῷ* A$T^c$E *γίνεται αὐτῷ* $T^1$R | **3** *ἐνδοτάτω* ARM *ἐνδοτάτων* TEBD | **4** *ἄληκτον* Σ | **8** *παρέχειν* ABDM *παρεῖχε* TER | **14** *ἀνθομολογεῖται* T [*αι* auf Rasur $T^1$], ERBDM *ἀνθωμολογεῖτο* A | **16** *χριστιανῶν* ATERM *τῶν χριστιανῶν* BD beides Vit. Const. 34, 20 HSS | **17** *ἐπισπέρχειν* ΠΣ *ἐπισπέρχει* Vit. Const. 34, 22 | *καὶ* BDM *τε καὶ* ATER | **21**—S. 792, 9 *Autokrator Caesar Mksiminos* [*Mksiminos Mksntis* $Σ^a$ *Maksentes* $Σ^{arm}$] *und Sebastos. Autokrator Câesar Konstantinos Eusebes und Sebastos* Σ, das Praescript ist nicht nur durch Euseb selbst verstümmelt [vgl. zu S. 792,16—19], sondern auch durch zahlreiche Correcturen entstellt; vgl. Seeck Rh. Mus. 48, 196ff. Mommsen Herm. 32, 543 | **21** *Γαλέριος* > MR, getilgt T | *Οὐαλέριος* > bDΔ | *μαξιμιανὸσ* $T^c$EbDM *μαξιμῖνοσ* $AT^1T^rR$ beides Δ HSS | vor *ἀνίκητος* ist *pius felix* mit Absicht gestrichen

**788, 26/27** *δ' ἂν — ἔρχηται* TER *ἔρχεται* A

792 »Σεβαστός, ἀρχιερεὺς μέγιστος, Γερμανικὸς μέγιστος, Αἰγυπτιακὸς
»μέγιστος, Θηβαϊκὸς μέγιστος, Σαρματικὸς μέγιστος πεντάκις, Περσῶν
»μέγιστος δίς, Κάρπων μέγιστος ἑξάκις, Ἀρμενίων μέγιστος, Μήδων
»μέγιστος, Ἀδιαβηνῶν μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ εἰκοστόν,
»αὐτοκράτωρ τὸ ἐννεακαιδέκατον, ὕπατος τὸ ὄγδοον, πατὴρ πατρί-
»δος, ἀνθύπατος· καὶ Αὐτοκράτωρ Καῖσαρ Φλαύιος Οὐαλέριος Κων- 4
»σταντῖνος εὐσεβὴς εὐτυχὴς ἀνίκητος Σεβαστός, ἀρχιερεὺς μέγιστος,
»δημαρχικῆς ἐξουσίας, αὐτοκράτωρ τὸ πέμπτον, ὕπατος, πατὴρ
»πατρίδος, ἀνθύπατος.

»Μεταξὺ τῶν λοιπῶν, ἅπερ ὑπὲρ τοῦ χρησίμου καὶ λυσιτελοῦς 6
»τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλήμεθα πρότερον κατὰ
»τοὺς ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥω-
»μαίων ἅπαντα ἐπανορθώσασθαι καὶ τούτου πρόνοιαν ποιήσασθαι
»ἵνα καὶ οἱ Χριστιανοί, οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοί-
»πασιν τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν· ἐπείπερ τινὶ 7

**9** Aus der früheren Ausgabe schalten ATER nach *ἀνθύπατος* ein: *»καὶ* 5
*»Αὐτοκράτωρ Καῖσαρ Οὐαλέριος Λικιννιανὸς Λικίννιος εὐσεβὴς εὐτυχὴς ἀνίκητος
»Σεβαστός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ τέταρτον, αὐτοκράτωρ τὸ
»τρίτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν«.*

**10** – S. 794, 22 das lateinische Original bei Lact. de mort. pers. 34

ATERbDMΣΔ

**1** *Γερμανικὸς μέγιστος* > bD, die Zahl fehlt, VI vermuthet für die Urkunde Seeck, vgl. zu **3** | **1/2** die Beinamen *Aegyptiacus maximus Thebaicus maximus* sind von Seeck mit Recht als unerhört bezeichnet | **3** *δίς* > AT$^1$D + T$^c$T$^r$, *Pers. max. tert.* Dessau inscr. Lat. sel. nr. 660 | nach *δίς* ist *Britt. max. II* gestrichen | *ἑξάκις* an dieser Stelle falsch, vgl. zu **1** *Γερμανικὸς μέγιστος* | **4** *εἰκοστόν* falsch, auf 311 [Lactant. de mort. persec. 35, 1] passt nur *trib. pot. XVIIII* | **6/7** *κωνσταντῖνοσ* bDMΣΔ *κωνστάντιοσ* ATER | **8** die Zahl der tribunicischen Gewalt ist mit Absicht gestrichen und nicht mehr zu bestimmen was für eine in der Originalurkunde stand | **13** *ἅπαντα* T durch Rasur, ERbDMΣ *cuncta* Lact. *ἅπαντασ* AT$^1$ | **15** *τινὶ* AΔ *quadam* Lact. *τίνι* TERDMΣ

**16—19** Euseb hat das Praescript des Maximinus schon früher, das des Licinius erst in der letzten Ausgabe [bDMΣΔ] gestrichen; über die Reihenfolge vgl. 826, 25. 828, 3. 4 Lactant. de mort. persec. 44, 11 | **17** *Λικιννιανὸς Λικίννιος* Dessau inscr. Lat. sel. 1, 151 *λικιννιανὸσ* A *λικίννιοσ* TER

794 ›λογισμῷ τοσαύτη αὐτοὺς πλεονεξία κατειλήφει ὡς μὴ ἕπεσθαι τοῖς
›ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐ-
›τῶν ἦσαν καταστήσαντες, ἀλλὰ κατὰ τὴν αὐτῶν πρόθεσιν καὶ ὡς
›ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι καὶ τούτους
›παραφυλάσσειν καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν. τοι- 8
›γαροῦν τοιούτου ὑφ᾽ ἡμῶν προστάγματος παρακολουθήσαντος ὥστε
›ἐπὶ τὰ ὑπὸ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταστήσαιεν,
›πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες παν-
›τοίους θανάτους ὑπέφερον· καὶ ἐπειδὴ τῶν πολλῶν τῇ αὐτῇ ἀπο- 9
›νοίᾳ διαμενόντων ἑωρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν
›ὀφειλομένην θρησκείαν προσάγειν αὐτοὺς μήτε τῷ τῶν Χριστιανῶν
›προσέχειν, ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν
›διηνεκῆ συνήθειαν δι᾽ ἧς εἰώθαμεν ἅπασιν ἀνθρώποις συγγνώμην
›ἀπονέμειν, προθυμότατα καὶ ἐν τούτῳ τὴν συγχώρησιν τὴν ἡμε-
›τέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν, ἵνα αὖθις ὦσιν Χριστιανοὶ καὶ
›τοὺς οἴκους ἐν οἷς συνήγοντο, συνθῶσιν οὕτως ὥστε μηδὲν ὑπεναν-
›τίον τῆς ἐπιστήμης αὐτοὺς πράττειν. δι᾽ ἑτέρας δὲ ἐπιστολῆς τοῖς
›δικασταῖς δηλώσομεν τί αὐτοὺς παραφυλάξασθαι δεήσει· ὅθεν κατὰ 10
›ταύτην τὴν συγχώρησιν τὴν ἡμετέραν ὀφείλουσιν τὸν ἑαυτῶν θεὸν
›ἱκετεύειν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας καὶ τῶν δημοσίων καὶ
›τῆς ἑαυτῶν, ἵνα κατὰ πάντα τρόπον καὶ τὰ δημόσια παρασχεθῇ
›ὑγιῆ καὶ ἀμέριμνοι ζῆν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι‹.

ταῦτα κατὰ τὴν Ῥωμαίων φωνήν, ἐπὶ τὴν Ἑλλάδα γλῶτταν 11
κατὰ τὸ δυνατὸν μεταληφθέντα, τοῦτον εἶχεν τὸν τρόπον. τί δὴ
οὖν ἐπὶ τούτοις γίνεται, ἐπιθεωρῆσαι καιρός.

1 Aus der früheren Ausgabe schalten ATER nach πλεονεξία ein: ›κατεσχήκει καὶ ἄνοια‹

ATER, b [—23 ταῦτα], B [von 23 κατὰ], DMΣΛ

**8/9** πλεῖστοι — ὑπέφερον von Eus. in der letzten Ausgabe verändert, vgl. Lact. *multi periculo subiugati, multi etiam deturbati sunt* | **9/10** τῆι αὐτῆι ἀπονοίαι nicht ursprünglich, *in proposito* Lact. | **15** ἐπεκτεῖναι ATER *porrigendam* Lact. ἐκτεῖναι bDM | **23** τὴν[1] TEBD τὴν τῶν ARM | **24** μεταληφθέντα ABDM μεταβληθέντα TER | εἶχεν BD εἶχε TEM ἔχει AR | **24/25** τί — καιρός Zusatz der letzten Ausgabe

**26/27** κατεσχήκει καὶ ἄνοια = *inuasisset et tanta stultitia* Lact.; die Worte sind von Euseb nicht zufällig in der letzten Ausgabe [bDMΣΛ] gestrichen

796 **794, 25** Am Ende des Buches schalten AER [vgl. Zonar. 12, 33 p. 644 b] aus der 1
früheren Ausgabe ein: *Ἀλλ᾽ ὁ μὲν τῆς γραφῆς αἴτιος μετὰ τὴν τοιάνδε ὁμολογίαν
αὐτίκα καὶ οὐκ εἰς μακρὸν τῶν ἀλγηδόνων ἀπαλλαγεὶς μεταλλάττει τὸν βίον.
τοῦτον δὴ λόγος ἔχει πρῶτον αἴτιον τῆς τοῦ διωγμοῦ καταστῆναι συμφορᾶς, ἔτι
πάλαι πρὸ τῆς τῶν λοιπῶν βασιλέων κινήσεως τοὺς ἐν στρατείαις Χριστιανοὺς καὶ
πρώτους γε ἁπάντων τοὺς ἐπὶ τοῦ ἰδίου οἴκου παρατρέπειν ἐκβεβιασμένον καὶ
τοὺς μὲν ἐκ τῆς στρατιωτικῆς ἀξίας ἀποκινοῦντα, τοὺς δὲ ἀτιμότατα καθυβρίζοντα,
ἤδη δὲ καὶ θάνατον ἑτέροις ἐπαρτῶντα καὶ τοὔσχατόν γε τοὺς τῆς βασιλείας κοι-
νωνοὺς ἐπὶ τὸν κατὰ πάντων ἀνακεκινηκότα διωγμόν· ὧν καὶ αὐτῶν οὐκ ἄξιον
τὸ τοῦ βίου τέλος παραδοῦναι σιωπῇ. τεττάρων οὖν τὴν κατὰ πάντων διειληχό- 2
των ἀρχήν, οἱ μὲν χρόνῳ καὶ τιμῇ προηγούμενοι οὐδ᾽ ὅλοις δυεῖν ἔτεσιν ἐπιγενό-
μενοι τῷ διωγμῷ μεθίστανται τῆς βασιλείας, ᾗ καὶ πρόσθεν ἡμῖν δεδήλωται, καὶ
δὴ τὸν ἐπίλοιπον τοῦ βίου χρόνον δημώδει καὶ ἰδιωτικῷ τρόπῳ διαγενόμενοι τέλος
τοιόνδε τῆς ζωῆς εἰλήχασιν, ὁ μὲν τιμῇ τε καὶ χρόνῳ τῶν πρωτείων ἠξιωμένος 3
μακρᾷ καὶ ἐπιλυποτάτῃ τῇ τοῦ σώματος ἀσθενείᾳ διεργασθείς, ὁ δὲ τὰ δεύτερα
αὐτοῦ φέρων ἀγχόνῃ τὴν ζωὴν ἀπορρήξας, κατά τινα δαιμονίαν προσημείωσιν
τοῦτο παθὼν διὰ πλείστας αὐτῷ τετολμημένας ῥᾳδιουργίας. τῶν δὲ μετὰ τούτους 4
ὁ μὲν ὕστατος, ὃν δὴ καὶ ἀρχηγὸν τοῦ παντὸς ἔφαμεν γεγονέναι διωγμοῦ, τοι-
αῦτα οἷα καὶ προδεδηλώκαμεν πέπονθεν, ὁ δὲ τοῦτον προάγων χρηστότατος καὶ
ἠπιώτατος βασιλεὺς Κωνστάντιος, ἐπαξίως τῆς ἡγεμονίας τὸν ἅπαντα τῆς ἀρχῆς
διατελέσας χρόνον [ἀλλὰ] καὶ τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον*

**12** vgl. 774, 22—25 — **15—17** vgl. 778, 7—9 — **19**—S. 797, 8 vgl. 776, 9—778, 2

AER

Überschrift: *τὸ ὡς λεῖπον ἔν τισιν ἀντιγράφοις ἐν τῷ η' λόγῳ* A *τινὰ τῶν ἀντιγράφων ἐν τοῖς τελευταίοις τοῦ τόμου τούτου περιέχει καὶ ταῦτα· οὐχ ὡς λίποντα ἀλλ᾽ ὡς ἐν ἄλλοις ἀντιγράφοις εὑρεθέντα κατὰ διάφορον φράσεως τρόπον* E | **3** *μακρὸν* A *μακρὰν* ER | **9** *διωγμόν. ὧν* Valois *διωγμένων* A *διωγμὸν* ER | *αὐτῶν* AE[1] *αὐτὸν* E durch Rasur, R | **10** *οὖν* A *γὰρ οὖν* ER | **11/12** *ἐπιγενόμενοι* A *ἐπιγινόμενοι* E *ἐπιγιγνόμενοι* R | **21** *ἀλλὰ* tilgt Schw vgl. 776, 11

797 *παρασχὼν ἑαυτόν, ἀτὰρ καὶ τοῦ καθ᾽ ἡμῶν πολέμου ἔξω γενόμενος καὶ τοὺς ὑπ᾽*
*αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους διαφυλάξας καὶ μήτε τοὺς οἴκους*
*τῶν ἐκκλησιῶν καθελὼν μήθ᾽ ἕτερόν τι μηδ᾽ ὅλως καθ᾽ ἡμῶν ἐπικαινουργήσας,*
*τέλος εὔδαιμον καὶ τρισμακάριον ὄντως ἀπείληφεν τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ*
*βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ τῆς βασιλείας γνησίῳ παιδὶ τὰ πάντα*
*σωφρονεστάτῳ καὶ εὐσεβεστάτῳ τελευτήσας· ὃς εὐθὺς ἀρχόμενος βασιλεὺς τελεώ-* 5
*τατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων ἀναγορευθείς, ζηλωτὴν ἑαυτὸν τῆς*
*πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. τοιαύτη τῶν προανα-*
*γεγραμμένων τεττάρων ἡ τοῦ βίου ἔκβασις, κατὰ παρηλλαγμένους χρόνους γεγε-*
*νημένη. τούτων δὴ μόνος ἔτι λείπων ὁ μικρῷ πρόσθεν ἡμῖν εἰρημένος σὺν τοῖς* 6
*μετὰ ταῦτα εἰς τὴν ἀρχὴν εἰσποιηθεῖσι τὴν προδεδηλωμένην ἐξομολόγησιν διὰ τοῦ*
*προεκτεθέντος ἐγγράφου λόγου τοῖς πᾶσι φανερὰν κατεστήσαντο.*

AER

**4** *ἀπείληφεν* 776, 15 *κατείληφεν* AER | *μόνος* 776, 16 *μόνον* AER | **10—12** *τούτων — κατεστήσαντο* > R | **10** *λείπων* E *λιπὼν* A